








LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

Cet ouvrage a été expliqué littéralement, annoté et revu pour la traduction française par M. Materne, inspecteur honoraire d'Académie.

25677. — Imprimerie LAHURE, rue de Fleurus, 9, à Paris.

LES AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des sommaires et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS
ET D'HELLÉNISTES

PLUTARQUE

VIE DE CÉSAR

PARIS
LIBRAIRIE HACHETTE ET Cie
79, BOULEVARD SAINT-GERMAIN, 79

1893

AVIS

RELATIF A LA TRADUCTION JUXTALINÉAIRE

On a réuni par des traits, dans la traduction juxtalinéaire, les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italique* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'ont pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses, dans le français, doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

ARGUMENT ANALYTIQUE

DE LA VIE DE CÉSAR.

I. Inimitié de César et de Sylla. — II. César, pris par des corsaires, les traite avec beaucoup de fierté et les fait pendre ensuite. — III. Son grand talent pour l'éloquence. — IV. Sa faveur auprès du peuple. — V. Il fait l'oraison funèbre de sa femme, et épouse ensuite Pompéia. — VI. Il place dans le Capitole les images de Marius et de ses victoires. — VII. Il est nommé grand-pontife. On reproche, à cette occasion, à Cicéron de l'avoir épargné lors de la conjuration de Catilina. — VIII. Le sénat, pour contre-balancer le crédit de César, fait distribuer du blé au peuple. — XI. César se rend en Espagne en qualité de préteur. — XII. Sa conduite dans cette province. — XIII. Il réconcilie Pompée et Crassus. — XIV. Il obtient le consulat par leur crédit. Conduite odieuse de César et de Pompée. César fait arrêter Caton et le relâche aussitôt. — XV. Sommaire des succès de César dans les Gaules. — XVI. Exemples de l'attachement qu'il inspirait à ses officiers et à ses soldats. — XVII. Comment il gagne leur affection. Sa sobriété. — XVIII. Première guerre de César dans les Gaules. — XIX. Seconde guerre, contre Arioviste. Il remporte sur lui une victoire complète. — XX. Il passe l'hiver dans la Gaule cisalpine. Défaite des Belges et des Nerviens. — XXI. Le gouvernement des Gaules lui est confié pour cinq ans. — XXII. Guerre contre les Usipiens et les Tenctères. Pont sur le Rhin. — XXIII. Double expédition dans la Grande-Bretagne. Mort de Julie, fille de César et femme de Pompée. — XXIV. Soulèvement de la Gaule. Défaite d'Ambiorix. — XXV. Révolte des Arvernes et des Carnutes, sous la conduite de Vercingétorix. — XXVI. Après une marche difficile à travers le territoire des Lingons, César parvient à mettre les ennemis en déroute. — XXVII. Il oblige Vercingétorix de se renfermer dans la ville d'Alésia, dont il fait le siége. Une grande armée vient au secours des assiégés. César la bat, et Vercingétorix se rend à lui. —

XXVIII. Commencement des divisions de César et de Pompée. Pompée, nommé seul consul, reçoit de plus le gouvernement de l'Espagne et de l'Afrique. — XXIX. César fait demander le consulat et la prolongation de son gouvernement. Erreur de Pompée sur les dispositions des troupes envers César. — XXX. César offre de déposer les armes, si Pompée veut les déposer aussi. — XXXI. Il se réduit à demander le gouvernement de la Gaule cisalpine. Antoine et Curion se réfugient dans son camp. — XXXII. Passage du Rubicon et prise d'Ariminum. — XXXIII. Effroi que cette nouvelle répand dans Rome. Fuite de Pompée. — XXXIV. Divers sentiments de crainte et de confiance dans la ville. — XXXV. César vient à Rome. — XXXVI. Il passe en Espagne, d'où il chasse les lieutenants de Pompée. — XXXVII. De retour à Rome, il est nommé dictateur, et se met à la poursuite de Pompée. Murmures des soldats. — XXXVIII. Il entreprend de repasser d'Apollonie à Brindes dans une simple barque. — XXXIX. Disette de ses soldats. Pompée victorieux ne sait pas profiter de sa victoire. — XL. César décampe, et Pompée se laisse déterminer, malgré lui, à le poursuivre. — XLI. César s'empare de Gomphes en Thessalie, et l'abondance est rétablie dans son camp. — XLII. Les deux armées en présence à Pharsale. Confiance des Pompéiens. — XLIII. Présages divers. — XLIV. Dispositions des deux généraux. — XLV. César remporte la victoire. — XLVI. Ses paroles et sa conduite après la bataille. — XLVII. Présages de Cornélius. — XLVIII. Larmes de César, lorsqu'on lui présente la tête de Pompée. — XLIX. Guerre d'Alexandrie. Cléopâtre se fait porter chez César dans un paquet de hardes. Il la met sur le trône d'Égypte. — L. Rapidité de ses victoires en Asie. — LI. Son retour à Rome. Insolence d'Antoine et d'autres amis de César. — LII. César passe en Afrique. Disette qu'il y éprouve. — LIII. Il défait en un jour trois généraux, et prend leurs trois camps. — LIV. Pourquoi César composa l'Anti-Caton. — LV. Dénombrement qui fait connaître l'énorme dépopulation causée par les guerres civiles. — LVI. César défait en Espagne les fils de Pompée. Son triomphe. — LVII. Il est nommé dictateur perpétuel. Sa belle conduite depuis la fin de la guerre. — LVIII. Il projette de nouvelles conquêtes et en-

treprend de grands travaux. — LIX. Il réforme le calendrier. — LX. Il se rend odieux en voulant se faire nommer roi. — LXI. Antoine lui présente le diadème, qu'il refuse. — LXII. Commencement de la conjuration de Brutus et de Cassius. — LXIII. Présages qui annoncent à César sa mort. — LXIV. Il va au sénat malgré les avis qu'il reçoit. — LXV. Billet d'Artémidore. — LXVI. Mort de César. — LXVII. Brutus et Cassius se présentent devant le peuple. — LXVIII. Fureur du peuple contre les meurtriers de César. — LXIX. Mort de Cassius et de Brutus.

ΠΛΟΥΤΑΡΧΟΥ

ΒΙΟΣ ΚΑΙΣΑΡΟΣ.

I. Τὴν Κίννα τοῦ μοναρχήσαντος θυγατέρα, Κορνηλίαν, ὡς ἐπεκράτησε Σύλλας, οὔτ' ἐλπίσιν οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. Αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλίᾳ γὰρ, πατρὸς ἀδελφῇ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγεγόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. Ὡς δ' ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι' ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐκ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην, εἰς τὸν δῆμον προῆλθεν, οὔπω πάνυ μειράκιον ὢν[1], ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασε· περὶ δ' ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα

I. Sylla, devenu maître de Rome et n'ayant pu, ni par ses promesses ni par ses menaces, déterminer César à répudier Cornélie, fille de Cinna, celui qui avait exercé la souveraine puissance, confisqua la dot de sa femme. La parenté de César avec le vieux Marius fut la cause de son inimitié pour Sylla. Marius avait épousé Julie, sœur du père de César, et en avait eu le jeune Marius, qui par là était cousin germain de César. Dans les commencements des proscriptions, Sylla, distrait par beaucoup d'autres soins et par le grand nombre de victimes qu'il immolait chaque jour, ne songea pas à César, qui, au lieu de se laisser oublier, se mit sur les rangs pour le sacerdoce et se présenta devant le peuple pour le briguer, quoiqu'il fût dans la première jeunesse. Sylla, par son opposition, fit rejeter sa demande; il voulut même le faire mourir. Et comme ses amis lui représentaient qu'il n'avait pas de raison pour sacrifier un si jeune

PLUTARQUE.

VIE DE CÉSAR.

I. Ὡς Σύλλας ἐπεκράτησε,
δυνηθεὶς
οὔτε ἐλπίσιν οὔτε φόβῳ
ἀποσπάσαι Καίσαρος
Κορνηλίαν τὴν θυγατέρα Κίννα
τοῦ μοναρχήσαντος,
ἐδήμευσε τὴν φερνὴν αὐτῆς.
Αἰτία δὲ Καίσαρι
τῆς ἀπεχθείας πρὸς Σύλλαν
ἦν ἡ οἰκειότης πρὸς Μάριον.
Ὁ γὰρ Μάριος πρεσβύτερος
συνῴκει Ἰουλίᾳ,
ἀδελφῇ πατρὸς Καίσαρος,
ἐξ ἧς ἐγεγόνει
Μάριος ὁ νεώτερος,
ὢν ἀνεψιὸς Καίσαρος.
Ὡς δὲ παρορώμενος ὑπὸ Σύλλα
ὑπὸ πλήθους φόνων
ἐν ἀρχῇ
καὶ διὰ ἀσχολίας
οὐκ ἠγάπησεν,
ἀλλὰ μετιὼν ἱερωσύνην,
προῆλθεν εἰς τὸν δῆμον,
οὔπω ὢν
πάνυ μειράκιον,
Σύλλας μὲν ὑπεναντιωθεὶς
παρεσκεύασεν
αὐτὸν ἐκπεσεῖν ταύτης·
βουλευόμενος δὲ
περὶ ἀναιρέσεως,
ἐνίων λεγόντων
ὡς οὐκ ἔχοι λόγον

I. Dès que Sylla domina,
n'ayant pu
ni par espérances ni par crainte
arracher à César
Cornélie, la fille de Cinna,
celui qui avait eu-le-pouvoir-absolu,
il confisqua la dot d'elle.
Mais une cause à César
de *son* inimitié pour Sylla
était la parenté avec Marius.
Car Marius le plus vieux
habitait-avec Julie,
sœur du père de César,
de laquelle était né
Marius le plus jeune,
qui était cousin de César.
Or comme, négligé par Sylla,
à cause de la multitude des meurtres
dans le commencement
et par suite de son occupation,
il ne-se-tint-pas-content,
mais briguant le sacerdoce,
il s'avança vers le peuple,
n'étant pas encore
tout-à-fait adolescent,
Sylla d'abord s'étant opposé
prépara
lui être exclu de ce *sacerdoce :*
puis délibérant
sur l'extermination *de lui,*
quelques-uns disant
qu'il n'avait pas de raison

τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσι. Ταύτης τῆς φωνῆς ἐνεχθείσης πρὸς Καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν Σαβίνοις, ἔκλεπτεν ἑαυτόν· ἔπειτα δι' ἀῤῥωστίαν εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος, κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. Ὧν τὸν ἡγεμόνα, Κορνήλιον[1], πείσας δυσὶ ταλάντοις, ἀφείθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν, ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδην τὸν βασιλέα. Παρ' ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτ' ἀποπλέων, ἁλίσκεται περὶ τὴν Φαρμακοῦσσαν[2] νῆσον ὑπὸ πειρατῶν, ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατταν.

II. Πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ' αὐτῶν λύτρα εἴκοσι τάλαντα, κατεγέλασεν ὡς οὐκ εἰδότων ὃν ᾑρήκοιεν· αὐτὸς δ' ὡμολόγησε

enfant : « Vous êtes vous-mêmes, leur répondit-il, bien peu avisés « de ne pas voir dans cet enfant plusieurs Marius. » César, à qui cette parole fut rapportée, erra longtemps et se tint caché dans le pays des Sabins. Un jour qu'il était malade et qu'il fut obligé de se faire porter dans une autre maison, il tomba la nuit entre les mains des soldats de Sylla, qui faisaient des recherches dans ce canton et emmenaient tous ceux qu'ils y trouvaient cachés. Il donna deux talents à Cornélius, leur capitaine, qui à ce prix favorisa son évasion. Il gagna aussitôt les bords de la mer, et s'étant embarqué, il se retira en Bithynie, auprès du roi Nicomède. Après y avoir séjourné peu de temps, il se remit en mer et fut pris auprès de l'île de Pharmacuse par des pirates, qui, ayant déjà des flottes considérables et un nombre infini de petits vaisseaux, s'étaient rendus maîtres de toute cette mer.

II. Ces pirates lui demandèrent vingt talents pour sa rançon ; il se moqua d'eux de ne pas savoir quel était leur prisonnier, et il leur en

ἀποκτιννύναι	de faire-périr
παῖδα τηλικοῦτον,	un enfant de-cet-âge,
ἔφη αὐτοὺς οὐκ ἔχειν νοῦν,	il dit eux n'avoir pas le sens-commun,
εἰ μὴ ἐνορῶσι πολλοὺς Μαρίους	s'ils ne voient pas plusieurs Marius
ἐν τούτῳ τῷ παιδί.	dans cet enfant-là.
Ταύτης τῆς φωνῆς	Cette parole
ἐνεχθείσης πρὸς Καίσαρα,	ayant été rapportée à César,
πλανώμενος μὲν ἐν Σαβίνοις	errant d'abord chez les Sabins
τινὰ χρόνον συχνὸν,	un certain temps assez-long,
ἔκλεπτεν ἑαυτόν·	il cachait lui :
ἔπειτα μετακομιζόμενος	ensuite se faisant-transporter
διὰ ἀῤῥωστίαν	à cause de maladie
εἰς ἑτέραν οἰκίαν,	dans une autre maison,
περιπίπτει κατὰ νύκτα	il tombe de nuit
στρατιώταις τοῦ Σύλλα	dans *les mains de* soldats de Sylla
διερευνωμένοις ἐκεῖνα τὰ χωρία	qui fouillaient ces lieux-là
καὶ συλλαμβάνουσι	et qui saisissaient
τοὺς κεκρυμμένους.	ceux étant cachés.
Ὧν πείσας	Desquels ayant persuadé
τὸν ἡγεμόνα, Κορνήλιον,	le capitaine, Cornélius,
δυσὶ ταλάντοις,	au moyen de deux talents,
ἀφείθη, καὶ εὐθὺς	il fut relâché, et aussitôt
καταβὰς ἐπὶ θάλατταν,	étant descendu vers la mer,
ἐξέπλευσεν εἰς Βιθυνίαν	vogua vers la Bithynie
πρὸς τὸν βασιλέα Νικομήδην.	auprès du roi Nicomède.
Παρὰ ᾧ διατρίψας	Chez lequel ayant séjourné
χρόνον οὐ πολὺν,	un temps non considérable,
εἶτα ἀποπλέων,	puis mettant-à-la-voile
ἁλίσκεται	il est pris
περὶ τὴν νῆσον Φαρμακοῦσσαν	près de l'île Pharmacuse
ὑπὸ πειρατῶν,	par des pirates,
ἤδη τότε κατεχόντων	qui déjà alors occupaient
τὴν θάλατταν μεγάλοις στόλοις	la mer par de grandes flottes
καὶ σκάφεσιν ἀπλέτοις.	et des navires infinis.
II. Πρῶτον μὲν οὖν	II. D'abord donc
αἰτηθεὶς ὑπὸ αὐτῶν	ayant été réclamé par eux
λύτρα εἴκοσι τάλαντα,	*d'*une rançon *de* vingt talents,
κατεγέλασεν	il se moqua
ὡς οὐκ εἰδότων	comme *eux* ne sachant pas
ὃν ᾑρήκοιεν·	*celui* qu'ils avaient pris ;

πεντήκοντα δώσειν. Ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν ἐπὶ τὸν τῶν χρημάτων πορισμὸν, ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξι[1] μεθ' ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν ἀπολελειμμένος, οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων, ὁσάκις ἀναπαύοιτο, προσέταττεν αὐτοῖς σιωπᾷν. Ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνέπαιζε καὶ συνεγυμνάζετο. Καὶ ποιήματα γράφων καὶ λόγους τινὰς, ἀκροαταῖς ἐκείνοις ἐχρῆτο, καὶ τοὺς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει, καὶ σὺν γέλωτι πολλάκις ἠπείλησε κρεμᾷν αὐτούς. Οἱ δ' ἔχαιρον, ἀφελείᾳ τινὶ καὶ παιδιᾷ τὴν παῤῥησίαν ταύτην νέμοντες. Ὡς δ' ἧκον ἐκ Μιλήτου[2] τὰ λύτρα, καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ Μιλησίων λιμένος, ἐπὶ τοὺς λῃστὰς ἀνήγετο· καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλο-

promit cinquante. Il envoya ceux qui l'accompagnaient dans différentes villes pour y ramasser cette somme, et ne retint qu'un seul de ses amis et deux domestiques, avec lesquels il resta au milieu de ces corsaires ciliciens, les plus sanguinaires des hommes; il les traitait avec tant de mépris, que lorsqu'il voulait dormir, il leur faisait dire de garder un profond silence. Il passa trente-huit jours avec eux, moins comme leur prisonnier, que comme un prince entouré de ses gardes. Plein de sécurité, il jouait et faisait avec eux ses exercices, composait des poëmes et des harangues qu'il leur lisait; et lorsqu'ils n'avaient pas l'air de les admirer, il les traitait sans ménagement d'ignorants et de barbares: quelquefois même il les menaçait, en riant, de les faire pendre. Ils aimaient cette franchise, qu'ils prenaient pour une simplicité et une gaieté naturelles. Quand il eut reçu de Milet sa rançon et qu'il la leur eut payée, il ne fut pas plutôt en liberté, qu'il équipa quelques vaisseaux dans le port de cette ville et cingla vers ces pirates, qu'il surprit en embuscade dans la

ὡμολόγησε δὲ αὐτὸς	puis il convint lui-même
δώσειν πεντήκοντα.	d'*en* devoir donner cinquante.
Ἔπειτα διαπέμψας	Ensuite ayant envoyé
τῶν περὶ αὐτὸν	de ceux autour de lui
ἄλλον εἰς ἄλλην πόλιν	un dans une ville, *un dans une autre*
ἐπὶ τὸν πορισμὸν τῶν χρημάτων,	pour la fourniture de l'argent,
ἀπολελειμμένος μετὰ ἑνὸς φίλου	ayant été laissé avec un seul ami
καὶ δυοῖν ἀκολούθοιν	et deux serviteurs
ἐν Κίλιξιν	parmi les Ciliciens
ἀνθρώποις φονικωτάτοις,	hommes très-portés-au-meurtre
εἶχεν οὕτω καταφρονητικῶς,	il se comportait avec-tant-de-mépris,
ὥστε πέμπων	que envoyant *vers eux*
προσέταττεν αὐτοῖς σιωπᾶν,	il enjoignait à eux de se taire
ὁσάκις ἀναπαύοιτο.	toutes-les-fois-que il allait reposer.
Τεσσαράκοντα δὲ ἡμέραις	Or *pendant* quarante jours
δεούσαις δυεῖν,	manquant de deux,
συνέπαιζε	il jouait-avec *eux*
καὶ συνεγυμνάζετο	et s'exerçait-avec *eux*
ἐπὶ πολλῆς ἀδείας,	avec une grande sécurité,
ὥσπερ οὐ φρουρούμενος,	comme n'étant pas gardé *en captif*,
ἀλλὰ δορυφορούμενος.	mais entouré-de-gardes *d'honneur*.
Καὶ γράφων ποιήματα	Et écrivant des poésies
καί τινας λόγους,	et certains discours,
ἐχρῆτο ἐκείνοις ἀκροαταῖς,	il se servait d'eux *comme* auditeurs,
καὶ ἀπεκάλει ἄντικρυς	et appelait ouvertement
ἀπαιδεύτους καὶ βαρβάρους	ignorants et barbares
τοὺς μὴ θαυμάζοντας,	ceux n'admirant pas,
καὶ πολλάκις σὺν γέλωτι	et souvent avec rire
ἠπείλησε κρεμᾶν αὐτούς.	il menaça de pendre eux.
Οἱ δὲ ἔχαιρον,	Mais ceux-ci se réjouissaient,
νέμοντες ταύτην τὴν παρρησίαν	attribuant ce franc-parler-là
τινὶ ἀφελείᾳ καὶ παιδιᾷ.	à une simplicité et plaisanterie.
Ὡς δὲ τὰ λύτρα	Mais dès que la rançon
ἧκον ἐκ Μιλήτου,	fut arrivée de Milet,
καὶ δοὺς ἀφείθη,	et *que l'*ayant donnée il fut relâché
εὐθὺς πληρώσας πλοῖα	aussitôt ayant équipé des navires
ἐκ τοῦ λιμένος Μιλησίων,	du port des Milésiens,
ἀνήγετο ἐπὶ τοὺς λῃστάς·	il partit contre les brigands :
καὶ καταλαβὼν	et ayant surpris
ἔτι ναυλοχοῦντας πρὸς τῇ νήσῳ,	*eux* encore stationnant vers l'île,

χοῦντας, ἐκράτησε τῶν πλείστων. Καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τοὺς δ' ἄνδρας ἐν Περγάμῳ[1] καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰούνιον[2], ὡς ἐκείνῳ προσῆκον ὄντι στρατηγῷ κολάσαι τοὺς ἑαλωκότας. Ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος (ἦν γὰρ οὐκ ὀλίγα) καὶ περὶ τῶν αἰχμαλώτων σκέψεσθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ Καῖσαρ εἰς Πέργαμον ᾤχετο, καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

III. Ἐκ δὲ τούτου, τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης καὶ τῶν οἴκοι καλούντων αὐτὸν, ἔπλευσεν εἰς Ῥόδον[3] [ἐπὶ σχολὴν] πρὸς Ἀπολλώνιον[4], τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο σοφιστεύοντος ἐπιφανῶς καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. Λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα,

rade même de l'île ; il en prit un grand nombre et s'empara de tout leur butin. De là il les conduisit à Pergame, où il les fit charger de fers, et alla trouver Junius, à qui il appartenait, comme préteur d'Asie, de les punir. Junius, ayant jeté un œil de cupidité sur leur argent, qui était considérable, lui dit qu'il examinerait à loisir ce qu'il devait faire de ces prisonniers. César, laissant là le préteur et retournant à Pergame, fit pendre tous ces pirates, comme il le leur avait souvent annoncé dans l'île, où ils prenaient ses menaces pour des plaisanteries.

III. Comme la puissance de Sylla commençait à s'affaiblir et que les amis de César lui écrivaient de revenir à Rome, il alla d'abord à Rhodes pour y prendre des leçons d'Apollonius Molon, celui dont Cicéron avait été l'auditeur, qui enseignait la rhétorique avec beaucoup de succès, et qui d'ailleurs avait la réputation d'un homme vertueux. On dit que César, né avec les dispositions les plus heureu-

ἐκράτησε τῶν πλείστων.	il s'empara du plus grand nombre.
Καὶ ἐποιήσατο μὲν	Et il fit, d'une part,
τὰ χρήματα λείαν,	de l'argent une proie,
καταθέμενος δὲ τοὺς ἄνδρας	de l'autre ayant déposé les hommes
εἰς τὸ δεσμωτήριον ἐν Περγάμῳ,	dans la prison à Pergame,
ἐπορεύθη αὐτὸς πρὸς τὸν Ἰούνιον	il alla lui-même vers Junius
διέποντα τὴν Ἀσίαν,	qui gouvernait l'Asie,
ὡς προσῆκον ἐκείνῳ	comme convenant à lui
ὄντι στρατηγῷ	qui était préteur
κολάσαι τοὺς ἑαλωκότας.	de punir ceux ayant été pris.
Ἐκείνου δὲ	Mais celui-ci
καὶ ἐποφθαλμιῶντος	et couvant-des-yeux
τοῖς χρήμασιν	l'argent
(ἦν γὰρ οὐκ ὀλίγα)	(car il était non peu-considérable)
καὶ φάσκοντος	et répétant
σκέψεσθαι ἐπὶ σχολῆς	*lui* devoir examiner à loisir
περὶ τῶν αἰχμαλώτων,	au sujet des prisonniers,
ὁ Καῖσαρ ἐάσας αὐτὸν χαίρειν	César ayant laissé lui se réjouir
ᾤχετο εἰς Πέργαμον,	s'en alla à Pergame,
καὶ προαγαγὼν	et ayant fait-sortir
ἅπαντας τοὺς λῃστὰς	tous les brigands
ἀνεσταύρωσεν,	il *les* fit-mettre-en-croix,
ὥσπερ προειρήκει αὐτοῖς	comme il *l*'avait dit-d'avance à eux
πολλάκις ἐν τῇ νήσῳ	plusieurs-fois dans l'île
δοκῶν παίζειν.	paraissant plaisanter.
III. Ἐκ δὲ τούτου,	III. Mais après cela,
τῆς δυνάμεως Σύλλα	la puissance de Sylla
μαραινομένης ἤδη	se flétrissant déjà
καὶ τῶν οἴκοι	et ceux du dedans *de Rome*
καλούντων αὐτὸν,	appelant lui,
ἔπλευσεν εἰς Ῥόδον	il navigua vers Rhodes
[ἐπὶ σχολὴν]	[pour l'école]
πρὸς Ἀπολλώνιον,	vers Apollonius
τὸν τοῦ Μόλωνος,	le *fils* de Molon,
οὗ σοφιστεύοντος ἐπιφανῶς	duquel professant remarquablement
καὶ δοκοῦντος εἶναι	et passant pour être
ἐπιεικοῦς τὸν τρόπον	honnête de mœurs
καὶ Κικέρων ἠκροᾶτο.	Cicéron aussi était-disciple.
Ὁ δὲ Καῖσαρ λέγεται	Or César est dit
καὶ φῦναι ἄριστα	et être né très-heureusement

καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον· ἀσχοληθεὶς, ἀφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο τῆς ἐν τῷ λέγειν δεινότητος, ὑπὸ στρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. Αὐτὸς δ' οὖν ὕστερον ἐν τῇ πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ παραιτεῖται μὴ στρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος.

IV. Ἐπανελθὼν δ' εἰς Ῥώμην, Δολοβέλλαν ἔκρινε κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς Ἑλλάδος τῶν πόλεων μαρτυρίας αὐτῷ παρέσχον. Ὁ μὲν οὖν Δολοβέλλας ἀπέφυγε τὴν δίκην. Ὁ δὲ Καῖσαρ, ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας, συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκούσῃ δωροδοκίας, ἐπὶ Λευκούλλου τοῦ Μάρκου Μακεδονίας στρατηγοῦ. Καὶ τοσοῦτον

ses pour l'éloquence politique, avait cultivé avec tant de soin ce talent naturel, que, de l'aveu de tout le monde, il tenait le second rang parmi les orateurs de Rome; et il aurait eu le premier, s'il n'eût pas renoncé aux exercices du barreau, pour acquérir par les talents militaires la supériorité du pouvoir. Détourné par d'autres soins, il ne put parvenir, dans l'éloquence, à la perfection vers laquelle la nature le portait; il se livra uniquement au métier des armes et aux affaires politiques, qui le conduisirent enfin à la suprême puissance. Aussi, dans la réponse qu'il fit longtemps après à l'éloge que Cicéron avait fait de Caton, il prie les lecteurs de ne pas comparer le style d'un homme de guerre avec celui d'un orateur excellent, et qui s'occupait à loisir de cette sorte d'étude.

IV. De retour à Rome, il accusa Dolabella de concussions dans le gouvernement de sa province, et trouva dans les villes de la Grèce un grand nombre de témoins qui déposèrent contre l'accusé. Cependant Dolabella fut absous; et César, pour reconnaître la bonne volonté des Grecs, plaida contre Publius Antonius, qu'ils accusaient de malversations, devant Marcus Lucullus, préteur de la Macédoine

πρὸς λόγους πολιτικούς,
καὶ διαπονῆσαι τὴν φύσιν
φιλοτιμότατα,
ὡς μὲν ἔχειν
ἀδηρίτως τὰ δευτερεῖα,
ἀφεῖναι δὲ τὸ πρωτεῖον,
μᾶλλον ἀσχοληθεὶς
ὅπως εἴη πρῶτος
τῇ δυνάμει καὶ τοῖς ὅπλοις,
οὐκ ἐξικόμενος
τῆς δεινότητος ἐν τῷ λέγειν
πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο,
ὑπὸ στρατειῶν
καὶ πολιτείας,
ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν.
Αὐτὸς δὲ οὖν ὕστερον
ἐν τῇ ἀντιγραφῇ περὶ Κάτωνος
πρὸς Κικέρωνα
παραιτεῖται μὴ ἀντεξετάζειν
λόγον ἀνδρὸς στρατιωτικοῦ
πρὸς δεινότητα
ῥήτορος εὐφυοῦς
καὶ ἄγοντος ἐπὶ τοῦτο
πολλὴν σχολήν.
IV. Ἐπανελθὼν δὲ εἰς Ῥώμην,
ἔκρινε Δολοβέλλαν
κακώσεως ἐπαρχίας,
καὶ πολλαὶ τῶν πόλεων
ἀπὸ τῆς Ἑλλάδος
παρέσχον αὐτῷ μαρτυρίας.
Ὁ μὲν οὖν Δολοβέλλας
ἀπέφυγε τὴν δίκην.
Ὁ δὲ Καῖσαρ,
ἀμειβόμενος τὴν Ἑλλάδα
τῆς προθυμίας,
συνηγόρευσεν αὐτῇ
διωκούσῃ δωροδοκίας
Πόπλιον Ἀντώνιον,
ἐπὶ τοῦ Λευκούλλου Μάρκου
στρατηγοῦ Μακεδονίας.

pour l'éloquence politique,
et avoir travaillé son naturel
avec-la-plus-grande-émulation,
au point d'avoir
sans-contredit le second *rang*,
et d'avoir renoncé à la primauté,
étant plus occupé
à ce qu'il fût le premier
par la puissance et les armes,
n'étant pas arrivé
à ce point d'habileté dans le parler
vers lequel la nature *le* conduisait,
à cause des expéditions
et du train-de-vie-politique,
par lequel il obtint l'empire.
Lui-même certes plus tard
dans sa réponse sur Caton
à Cicéron
prie de ne pas comparer
la parole d'un homme de-guerre
avec l'habileté
d'un orateur bien-doué-par-la-nature
et employant pour cela
beaucoup de loisir.
IV. Étant revenu à Rome
il accusa Dolabella [ment,
de prévarication dans son gouverne-
et plusieurs des villes
de la Grèce
fournirent à lui des témoignages.
Cependant Dolabella
échappa au châtiment.
Mais César,
récompensant la Grèce
de son empressement,
défendit elle
qui poursuivait pour vénalité
Publius Antonius,
devant Lucullus Marcus
préteur de Macédoine.

ἴσχυσεν ὥστε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους, σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. Ἐν δὲ Ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπε, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικοῦ παρ' ἡλικίαν ὄντος. Ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. Ἣν τὸ πρῶτον οἱ φθονοῦντες, οἰόμενοι ταχὺ, τῶν ἀναλωμάτων ἐπιλιπόντων, ἐξίτηλον ἔσεσθαι, περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δ' ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης, καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολὴν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος ἡγητέον μικρὰν, ὅπου[1] ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχὲς, ἐκ τοῦ

Il parla avec tant d'éloquence, qu'Antonius, qui craignit d'être condamné, en appela aux tribuns du peuple, sous prétexte qu'il ne pourrait obtenir justice contre les Grecs dans la Grèce même. A Rome, les grâces de son éloquence brillèrent au barreau, et lui acquirent une grande faveur. En même temps que son affabilité, sa politesse, l'accueil gracieux qu'il faisait à tout le monde, qualités qu'il possédait à un degré au-dessus de son âge, lui méritaient l'affection du peuple; d'un autre côté, la somptuosité de sa table et sa magnificence dans toute sa manière de vivre accrurent peu à peu son influence et son pouvoir dans le gouvernement. D'abord ses envieux, persuadés que faute de pouvoir suffire à cette dépense excessive, il verrait bientôt sa puissance s'éclipser, firent peu d'attention aux progrès qu'elle faisait parmi le peuple. Mais quand elle se fut tellement fortifiée, qu'il n'était plus possible de la renverser et qu'elle tendait visiblement à ruiner la république, ils sentirent, mais trop tard, qu'il n'est pas de commencement si faible qui ne s'accroisse

Καὶ ἴσχυσε τοσοῦτον	Et il fut-puissant tellement
ὥστε τὸν Ἀντώνιον	au point Antonius
ἐπικαλέσασθαι τοὺς δημάρχους,	en avoir appelé aux tribuns,
σκηψάμενον	ayant allégué
οὐκ ἔχειν τὸ ἴσον	ne pas avoir la *partie* égale
ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας.	dans la Grèce contre des Grecs.
Ἐν δὲ Ῥώμῃ	Cependant à Rome
πολλὴ μὲν χάρις	une grande faveur d'une part
ἐξέλαμπεν	éclatait
ἐπὶ τῷ λόγῳ αὐτοῦ	à cause de l'éloquence de lui
περὶ τὰς συνηγορίας,	dans les défenses,
πολλὴ δὲ εὔνοια	et de l'autre une grande bienveillance
ἀπήντα	se rencontrait
παρὰ τῶν δημοτῶν	du côté des gens-du-peuple
τῆς φιλοφροσύνης	*à cause de* sa familiarité
περὶ τὰς δεξιώσεις	en-fait-de poignées-de-main
καὶ ὁμιλίας,	et de conversations,
ὄντος θεραπευτικοῦ	*lui* étant courtisan
παρὰ ἡλικίαν.	au delà de *son* âge.
Τὶς δὲ δύναμις	De plus une certaine puissance
ἦν αὐτῷ	était à lui
εἰς τὴν πολιτείαν	vers le gouvernement
αὐξανομένη κατὰ μικρὸν	s'augmentant peu-à-peu
καὶ ἀπὸ δείπνων καὶ τραπέζης	et par *ses* repas et par *sa* table
καὶ ὅλως τῆς λαμπρότητος	et en-général par l'éclat
περὶ τὴν δίαιταν.	de son genre-de-vie.
Ἣν τὸ πρῶτον	Laquelle *puissance* d'abord
οἱ φθονοῦντες	ceux qui *l'*enviaient
οἰόμενοι ἔσεσθαι ταχὺ ἐξίτηλον,	pensant devoir être vite évanouie,
τῶν ἀναλωμάτων ἐπιλιπόντων,	les dépenses ayant manqué,
περιεώρων	négligeaient
ἀνθοῦσαν ἐν τοῖς πολλοῖς·	florissante dans la multitude :
ᾔσθοντο δὲ ὀψὲ,	mais ils s'aperçurent tard,
γενομένης μεγάλης	*elle* étant devenue grande
καὶ δυσανατρέπτου,	et difficile-à-renverser,
καὶ βαδιζούσης ἄντικρυς	et marchant ouvertement
ἐπὶ τὴν μεταβολὴν τῶν ὅλων,	au changement de toutes *les affaires*,
ὡς ἡγητέον μικρὰν	que il *ne* faut juger petit
οὐδεμίαν ἀρχὴν πράγματος,	aucun commencement de chose,
ὅπου τὸ ἐνδελεχὲς	puisque la continuité

καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν. Ὁ γοῦν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας, ὥσπερ θαλάττης, τὰ διαγελῶντα, καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν Κικέρων ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾶν διάνοιαν· « Ἀλλ' ὅταν, ἔφη, τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω κἀκεῖνον ἑνὶ δακτύλῳ κνώμενον[1], οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν ἂν ἐμβαλέσθαι τηλικοῦτο κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πολιτείας. » Ταῦτα μὲν οὖν ὕστερον.

V. Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς Γάϊον Ποπίλιον ἐρίσας ὑπὲρ χιλιαρχίας πρότερος ἀνηγορεύθη· δευτέραν δὲ καὶ καταφανεστέραν, ὅτε, τῆς Μαρίου γυναικὸς, Ἰουλίας, ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς

promptement par la persévérance, grâce au mépris qui a empêché qu'on n'arrêtât ses progrès. Cicéron paraît avoir été le premier à soupçonner et à craindre la douceur de sa conduite politique, qu'il comparait à la bonace de la mer, et à reconnaître la méchanceté de son caractère sous ce dehors de politesse et de grâce dont il la couvrait. « J'aperçois, disait cet orateur, dans tous ses projets et dans « toutes ses actions des vues tyranniques ; mais quand je regarde ses « cheveux si artistement arrangés, quand je le vois se gratter la tête « du bout du doigt, je ne puis croire qu'un tel homme puisse conce- « voir le dessein si noir de renverser la république. » Mais cela ne fut dit que longtemps après.

V. César reçut une première marque de l'affection du peuple, lorsqu'il se trouva en concurrence avec Caïus Popilius pour l'emploi de tribun des soldats ; il fut nommé le premier. Il en eut une seconde encore plus évidente, quand, à la mort de la femme de Marius, dont

ποιεῖ ταχὺ μεγάλην,
λαβοῦσαν τὸ μὴ κωλυθῆναι
ἐκ τοῦ καταφρονηθῆναι.
Ὁ γοῦν Κικέρων
δοκῶν πρῶτος
ὑπιδέσθαι
καὶ φοβηθῆναι τὰ διαγελῶντα
τῆς πολιτείας αὐτοῦ,
ὥσπερ θαλάττης,
καὶ καταμαθὼν
τὴν δεινότητα τοῦ ἤθους
κεκρυμμένην
ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ
ἔλεγεν ἐνορᾶν διάνοιαν τυραννικὴν
ἅπασι τοῖς ἄλλοις ἐπιβουλεύμασι
καὶ πολιτεύμασιν αὐτοῦ·
« Ἀλλὰ, ἔφη, ὅταν ἴδω
τὴν κόμην διακειμένην
οὕτω περιττῶς
καὶ ἐκεῖνον κνώμενον
ἑνὶ δακτύλῳ,
πάλιν οὗτος ὁ ἄνθρωπος
οὔ μοι δοκεῖ
ἂν ἐμβαλέσθαι εἰς νοῦν
τηλικοῦτο κακὸν,
ἀναίρεσιν
τῆς πολιτείας Ῥωμαίων. »
Ταῦτα μὲν οὖν
ὕστερον.
V. Ἔλαβε δὲ
πρώτην μὲν ἀπόδειξιν
τῆς εὐνοίας τοῦ δήμου
πρὸς αὐτὸν,
ὅτε ἐρίσας
ὑπὲρ χιλιαρχίας
πρὸς Γάϊον Ποπίλιον
ἀνηγορεύθη πρότερος·
δευτέραν δὲ
καὶ καταφανεστέραν,
ὅτε, Ἰουλίας,

fait vite *lui* grand,
ayant reçu le ne pas être empêché
du être méprisé.
Du moins Cicéron
paraissant le premier
avoir soupçonné
et avoir craint les *dehors* riants
du gouvernement de lui,
comme de la mer,
et ayant compris
la dureté du caractère
cachée
sous l'*apparence* humaine et enjouée
disait voir une pensée tyrannique
dans toutes les autres résolutions
et mesures-politiques de lui :
« Mais, disait-il, quand je vois
sa chevelure arrangée
si supérieurement
et lui se grattant
d'un seul doigt,
de nouveau cet homme
ne me paraît pas
devoir s'être mis dans l'esprit
un aussi grand mal,
la destruction
du gouvernement des Romains.
Ces *choses* du moins
furent dites plus tard.
V. Mais il reçut
d'abord une première preuve
de la bienveillance du peuple
pour lui,
lorsque ayant rivalisé
pour le tribunat-militaire
avec Caius Popilius
il fut proclamé le premier :
puis une seconde
et plus éclatante,
lorsque, Julie,

ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθε καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίου προθέσθαι, τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. Ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ Καίσαρος, ὁ δῆμος ἀντήχησε λαμπρῶς, δεξάμενος κρότῳ καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδου διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίου τιμὰς εἰς τὴν πόλιν. Τὸ μὲν οὖν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι πάτριον ἦν Ῥωμαίοις[1]· νέαις δ' οὐκ ὂν ἐν ἔθει, πρῶτος εἶπε Καῖσαρ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς ἀποθανούσης[2]· καὶ τοῦτ' ἤνεγκεν αὐτῷ χάριν τινὰ, καὶ συνεδημαγώγησε τῷ πάθει τοὺς πολλοὺς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾶν. Θάψας δὲ τὴν γυναῖκα, ταμίας εἰς Ἰβηρίαν[3] ἑνὶ τῶν στρατηγῶν, Βέτερι, συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσε, καὶ τὸν υἱὸν πάλιν

il était le neveu, il prononça avec beaucoup d'éclat son oraison funèbre dans la place publique, et qu'il osa faire porter à son convoi les images de Marius, qui n'avaient pas encore paru, depuis que Sylla, maître dans Rome, avait fait déclarer Marius et ses partisans ennemis de la patrie. Quelques personnes s'étant récriées sur cette audace, le peuple s'éleva hautement contre elles, et par les applaudissements les plus prononcés témoigna son admiration pour le courage que César avait eu de rappeler, pour ainsi dire, des enfers les honneurs de Marius, ensevelis depuis si longtemps. C'était de toute ancienneté la coutume des Romains de faire l'oraison funèbre des femmes qui mouraient âgées; mais cet usage n'avait pas lieu pour les jeunes femmes. César fut le premier qui prononça celle de sa femme, morte fort jeune. Cette innovation lui fit honneur, lui concilia la faveur publique et le rendit cher au peuple, qui vit dans cette sensibilité une marque de ses mœurs douces et honnêtes. Après avoir fait les obsèques de sa femme, il alla questeur en Espagne sous le préteur Véter, qu'il honora depuis tant qu'il vécut, et dont il nomma

τῆς γυναικὸς Μαρίου,	la femme de Marius,
ἀποθανούσης,	étant morte,
ὢν ἀδελφιδοῦς αὐτῆς	*lui* étant neveu d'elle
διῆλθέ τε ἐν ἀγορᾷ	et il prononça sur la place-publique
λαμπρὸν ἐγκώμιον	un brillant éloge
καὶ ἐτόλμησε περὶ τὴν ἐκφορὰν	et il osa à son convoi
προθέσθαι εἰκόνας Μαρίου,	faire-porter les images de Marius,
ὀφθείσας τότε πρῶτον	vues alors pour-la-première-fois
μετὰ τὴν πολιτείαν ἐπὶ Σύλλα,	depuis le gouvernement sous Sylla,
τῶν ἀνδρῶν	les hommes *de ce parti*
κριθέντων πολεμίων.	ayant été jugés ennemis.
Ἐπὶ τούτῳ γὰρ ἐνίων	Car sur ce quelques-uns
καταβοησάντων τοῦ Καίσαρος,	ayant crié-contre César,
δῆμος ἀντήχησε λαμπρῶς,	le peuple répondit avec-éclat,
δεξάμενος κρότῳ	*l'*ayant reçu avec applaudissements
καὶ θαυμάσας	et *l'*ayant admiré
ὥσπερ ἀνάγοντα	comme ramenant
διὰ χρόνων πολλῶν	après des temps longs
ἐξ ᾅδου εἰς τὴν πόλιν	de l'enfer dans la ville
τὰς τιμὰς Μαρίου.	les honneurs de Marius.
Τὸ μὲν οὖν διεξιέναι	Certainement le prononcer
λόγους ἐπιταφίους	des oraisons funèbres
ἐπὶ γυναιξὶ πρεσβυτέραις	sur des femmes âgées
ἦν πάτριον Ῥωμαίοις·	était d'usage-antique aux Romains :
οὐκ ὂν δὲ ἐν ἔθει	mais *chose* n'étant pas en usage
νέαις,	pour les jeunes *femmes*,
Καῖσαρ πρῶτος εἶπεν	César le premier parla
ἐπὶ τῆς γυναικὸς ἑαυτοῦ	sur la femme de lui
ἀποθανούσης·	étant morte :
καὶ τοῦτο ἤνεγκεν αὐτῷ	et cela attira à lui
τινὰ χάριν,	une certaine faveur,
καὶ συνεδημαγώγησε τῷ πάθει	et excita par la sympathie
τοὺς πολλοὺς ἀγαπᾶν	la multitude à aimer *lui*
ὡς ἄνδρα ἥμερον	comme un homme doux
καὶ περίμεστον ἤθους.	et plein de moralité.
Θάψας δὲ τὴν γυναῖκα,	Mais ayant enseveli sa femme,
συνεξῆλθε ταμίας	il partit questeur
εἰς Ἰβηρίαν, Βέτερι,	pour l'Espagne, avec Véter,
ἑνὶ τῶν στρατηγῶν,	un des préteurs,
ὃν διετέλεσέ τε ἀεὶ	lequel et il continua toujours

αὐτὸς ἄρχων ταμιαν ἐποίησε. Γενόμενος δ' ἀπὸ τῆς ἀρχῆς ἐκείνης, τρίτην ἠγάγετο γυναῖκα, Πομπηΐαν, ἔχων ἐκ Κορνηλίας θυγατέρα τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ γαμηθεῖσαν. Χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς, καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνούμενος δὲ ταῖς ἀληθείαις τὰ μέγιστα μικρῶν, λέγεται, πρὶν εἰς ἀρχήν τινα καθίστασθαι, χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. Ἐπεὶ δὲ τοῦτο μὲν, ὁδοῦ τῆς Ἀππίας ἀποδειχθεὶς ἐπιμελητὴς, πάμπολλα χρήματα προσανάλωσε τῶν ἑαυτοῦ· τοῦτο δ', ἀγορανομῶν, ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχε, καὶ ταῖς ἄλλαις περὶ τὰ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας,

le fils son questeur, quand il fut parvenu lui-même à la préture. Au retour de sa questure, il épousa en troisièmes noces Pompéia; il avait de Cornélie, sa première femme, une fille, qui plus tard fut mariée au grand Pompée. Sa dépense, toujours excessive, faisait croire qu'il achetait chèrement une gloire fragile et presque éphémère; mais, en réalité, il acquérait à vil prix les choses les plus précieuses. On assure qu'avant d'avoir obtenu aucune charge, il était endetté de treize cents talents. Mais le sacrifice d'une grande partie de sa fortune, soit dans l'intendance des réparations de la voie Appienne, soit dans son édilité, où il fit combattre devant le peuple trois cent vingt paires de gladiateurs; la somptuosité des jeux, des fêtes et des festins qu'il donna et qui effaçaient tout ce qu'on avait fait avant lui de plus brillant, inspirèrent au peuple une telle affection, qu'il n'y eut personne qui ne cherchât à lui procurer

τιμῶν αὐτὸν	honorant lui,
καὶ πάλιν αὐτὸς ἄρχων	et à-son-tour lui-même commandant
ἐποίησε τὸν υἱὸν ταμίαν.	il fit son fils questeur.
Γενόμενος δὲ	Puis étant sorti
ἀπὸ ἐκείνης τῆς ἀρχῆς,	de cette charge-là,
ἠγάγετο τρίτην γυναῖκα,	il prit pour troisième femme
Πομπηΐαν,	Pompéia,
ἔχων ἐκ Κορνηλίας θυγατέρα	ayant de Cornélie une fille
τὴν γαμηθεῖσαν ὕστερον	celle ayant été mariée plus tard
Πομπηΐῳ Μάγνῳ.	à Pompée le Grand.
Χρώμενος δὲ ἀφειδῶς	Or se servant sans-ménagement
ταῖς δαπάναις,	des dépenses,
καὶ δοκῶν μὲν	et paraissant il-est-vrai
ἀντικαταλλάττεσθαι	recevoir-en-échange
μεγάλων ἀναλωμάτων	de grands frais
δόξαν ἐφήμερον καὶ βραχεῖαν,	une gloire éphémère et courte,
ταῖς δὲ ἀληθείαις	mais dans la vérité
ὠνούμενος τὰ μέγιστα	achetant les plus grandes *choses*
μικρῶν,	par de petites,
λέγεται γενέσθαι χρεωφειλέτης	il est dit avoir été débiteur
χιλίων καὶ τριακοσίων ταλάντων,	de mille et trois-cents talents,
πρὶν καθίστασθαι	avant de se constituer
εἴς τινα ἀρχήν.	en quelque charge.
Ἐπεὶ δὲ τοῦτο μὲν,	Mais comme d'une part,
ἀποδειχθεὶς ἐπιμελητὴς	ayant été nommé intendant
τῆς ὁδοῦ Ἀππίας,	de la voie Appienne,
προσανάλωσε	il dépensa-en-outre
χρήματα πάμπολλα	un argent très-considérable
τῶν ἑαυτοῦ·	de celui de lui-même;
τοῦτο δὲ, ἀγορανομῶν,	et *que* d'autre part, étant-édile
παρέσχε	il fournit
τριακόσια καὶ εἴκοσι ζεύγη	trois-cent et vingt paires
μονομάχων,	de gladiateurs,
καὶ κατέκλυσε	et *qu'*il submergea (*effaça*)
τὰς φιλοτιμίας πρὸ αὐτοῦ	les libéralités *d'*avant lui
ταῖς ἄλλαις χορηγίαις	par les autres frais-de-fêtes
καὶ πολυτελείαις	et somptuosités
περὶ τὰ θέατρα	relativement aux théâtres
καὶ πομπὰς καὶ δεῖπνα,	et aux cérémonies et aux festins,
διέθηκε τὸν δῆμον	il disposa le peuple

οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχὰς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς αὐτὸν ἀμείψαιντο.

VI. Δυεῖν δ' οὐσῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα μέγα δυναμένης, τῆς δὲ Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διέσπαστο, κομιδῇ ταπεινὰ πράττουσα, ταύτην ἀναῤῥῶσαι καὶ προαγαγέσθαι βουλόμενος, ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις εἰκόνας ἐποιήσατο Μαρίου κρύφα καὶ Νίκας τροπαιοφόρους, ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον ἀνέστησεν. Ἅμα δ' ἡμέρᾳ τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλου δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα[1]) θάμβος ἔσχε τῆς τόλμης τοῦ ἀναθέντος· οὐ γὰρ ἦν ἄδηλος· ταχὺ δὲ περιιὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. Ἀλλ' οἱ μὲν ἐβόων τυραννίδα πολιτεύεσθαι Καίσαρα, νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς, καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλατ-

de nouvelles charges et de nouveaux honneurs, pour le récompenser de sa magnificence.

VI. Rome était alors divisée en deux factions, celle de Sylla, toujours très-puissante, et celle de Marius, qui, réduite à une grande faiblesse et presque dissipée, osait à peine se montrer. César voulut relever et ranimer cette dernière : lorsque les dépenses de son édilité lui donnaient le plus d'éclat dans Rome, il fit faire secrètement des images de Marius, avec des Victoires qui portaient des trophées, et une nuit il les plaça dans le Capitole. Le lendemain, quand on vit ces images tout éclatantes d'or et travaillées avec le plus grand art, dont les inscriptions faisaient connaître que c'étaient les victoires de Marius sur les Cimbres, on fut effrayé de l'audace de celui qui les avait placées : car on ne pouvait s'y méprendre. Le bruit qui s'en répandit aussitôt attira tout le monde à ce spectacle : les uns disaient hautement que César aspirait à la tyrannie, en ressuscitant des honneurs qui avaient été comme ensevelis par des lois et des décrets publics : que c'était un essai qu'il faisait pour sonder les dispositions du peuple, déjà amorcé par ses libéralités, et pour voir si,

οὕτως, ὡς ἕκαστον	tellement, que chacun
ζητεῖν καινὰς μὲν ἀρχὰς,	chercher soit de nouvelles charges,
καινὰς δὲ τιμὰς,	soit de nouveaux honneurs,
αἷς ἀμείψαιντο αὐτόν.	par lesquels ils récompensassent lui.
VI. Δυεῖν δὲ στάσεων	VI. Deux factions
οὐσῶν ἐν τῇ πόλει,	étant dans la ville,
τῆς μὲν ἀπὸ Σύλλα	l'une de Sylla
δυναμένης μέγα,	pouvant beaucoup,
τῆς δὲ Μαριανῆς,	l'autre de-Marius,
ἣ τότε κατεπτήχει	laquelle alors était consternée
καὶ διέσπαστο,	et était dissipée,
πράττουσα κομιδῇ ταπεινὰ,	faisant tout-à-fait humble *figure*,
βουλόμενος ἀναῤῥῶσαι	*César* voulant fortifier
καὶ προαγαγέσθαι ταύτην,	et relever celle-ci,
ἐν ταῖς φιλοτιμίαις ἀγορανομικαῖς	dans les libéralités de-son-édilité
ἐχούσαις ἀκμὴν	ayant le-plus-haut-degré
ἐποιήσατο κρύφα	fit-faire secrètement
εἰκόνας Μαρίου	des images de Marius [phées,
καὶ Νίκας τροπαιοφόρους,	et des Victoires portant-des-tro-
ἃς φέρων νυκτὸς	lesquelles portant de nuit
ἀνέστησεν εἰς τὸ Καπιτώλιον.	il dressa au Capitole.
Ἅμα δὲ ἡμέρᾳ	Or avec le jour
θάμβος τῆς τόλμης	l'effroi de l'audace
τοῦ ἀναθέντος	de celui *les* ayant placées
ἔσχε τοὺς θεασαμένους	s'empara de ceux ayant vu
πάντα μαρμαίροντα χρυσῷ	toutes *ces choses* éclatantes d'or
καὶ κατεσκευασμένα	et travaillées
τέχνῃ περιττῶς	avec art merveilleusement
(διεδήλου δὲ γράμμασι	(et elles indiquaient par des lettres
τὰ κατορθώματα Κιμβρικά)·	les succès cimbriques) :
οὐ γὰρ ἦν ἄδηλος·	car *l'auteur* n'était pas incertain :
ὁ δὲ λόγος περιιὼν ταχὺ	et la rumeur circulant vite
ἤθροιζε πάντας ἀνθρώπους	rassemblait tous les hommes
πρὸς τὴν ὄψιν.	vers cette vue.
Ἀλλὰ οἱ μὲν ἐβόων Καίσαρα	Cependant les uns criaient César
πολιτεύεσθαι τυραννίδα,	machiner la tyrannie,
ἐπανιστάντα τιμὰς	*en* relevant des honneurs
κατορωρυγμένας	enfouis
νόμοις καὶ δόγμασι,	par des lois et des décrets,
καὶ τοῦτο εἶναι πεῖραν	et cela être une épreuve

τέμενον[1], εἰ τετιθάσευται ταῖς φιλοτιμίαις ὑπ' αὐτοῦ καὶ δίδωσι παίζειν τοιαῦτα καὶ καινοτομεῖν. Οἱ δὲ Μαριανοὶ παραθαῤῥύναντες αὑτοὺς, πλήθει τε θαυμαστοὶ ὅσοι διεφάνησαν ἐξαίφνης καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον· πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίου θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει· καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίου συγγενείας. Συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς, Κάτλος Λουτάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα Ῥωμαίων, ἀναστὰς καὶ κατηγορήσας Καίσαρος, ἐπεφθέγξατο τὸ μνημονευόμενον· «Οὐκ ἔτι γὰρ ὑπονόμοις, ἔφη, Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν.» Ἐπεὶ δ' ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν, καὶ παρεκελεύοντο μηδενὶ τοῦ φρονήματος

assez apprivoisé par les fêtes publiques qu'il lui avait données avec tant d'ostentation, il lui laisserait jouer de pareils jeux et entreprendre des nouveautés si téméraires. Les partisans de Marius, de leur côté, s'encourageant les uns les autres, se rassemblèrent en très-grand nombre et remplirent le Capitole du bruit de leurs applaudissements ; plusieurs même d'entre eux, en voyant la figure de Marius, versaient des larmes de joie ; ils élevaient César jusqu'aux nues et disaient qu'il était seul digne de la parenté de Marius. Le sénat s'étant assemblé, Catulus Lutatius, le plus estimé de tous les Romains de son temps, se leva, et parlant avec force contre César, il dit cette parole si souvent répétée depuis : « Que César n'attaquait plus la république par des mines secrètes, et qu'il dressait ouvertement contre elle toutes ses batteries. » Mais César s'étant justifié auprès du sénat, ses admirateurs en conçurent de plus hautes espérances ; ils l'encouragèrent à conserver toute sa fierté et à ne plier devant

ἐπὶ τὸν δῆμον προμαλαττόμενον,	sur le peuple amolli-d'avance,
εἰ τετιθάσευται ὑπὸ αὐτοῦ	*pour voir* s'il a été apprivoisé par lui
ταῖς φιλοτιμίαις,	au moyen des largesses,
καὶ δίδωσι παίζειν	et s'il *lui* accorde de jouer
καὶ καινοτομεῖν τοιαῦτα.	et d'innover en de telles *choses*.
Οἱ δὲ Μαριανοὶ	Mais les *partisans* de-Marius
παραθαῤῥύναντες αὐτοὺς,	s'étant enhardis eux-mêmes,
θαυμαστοί τε	et étonnants
ὅσοι πλήθει	combien *ils étaient* de nombre
διεφάνησαν ἐξαίφνης	se montrèrent tout-à-coup [ments
καὶ κατεῖχον κρότῳ	et ils remplissaient d'applaudisse-
τὸ Καπιτώλιον·	le Capitole :
πολλοῖς δὲ καὶ θεωμένοις	à plusieurs même voyant
τὴν ὄψιν Μαρίου	la figure de Marius
δάκρυα ἐχώρει ὑπὸ ἡδονῆς·	des larmes s'échappaient de joie :
καὶ ὁ Καῖσαρ ἦν	et César était
αἰρόμενος μέγας ἐγκωμίοις,	exalté grand par les éloges,
ὡς ὁ ἀνὴρ εἴη	comme-quoi cet homme était
ἀντὶ πάντων ἄξιος	au lieu de tous digne
τῆς συγγενείας Μαρίου.	de la parenté de Marius.
Τῆς δὲ βουλῆς συναχθείσης	Mais le sénat s'étant assemblé
περὶ τούτων,	au sujet de ces *choses*,
Κάτλος Λουτάτιος,	Catulus Lutatius,
ἀνὴρ τότε εὐδοκιμῶν	homme alors étant estimé
μάλιστα Ῥωμαίων,	le plus d'entre les Romains,
ἀναστὰς	s'étant levé
καὶ κατηγορήσας Καίσαρος,	et ayant accusé César,
ἐπεφθέγξατο	prononça
τὸ μνημονευόμενον·	ce *mot* mémorable :
« Καῖσαρ γὰρ, ἔφη,	« César, dit-il,
αἱρεῖ τὴν πολιτείαν	attaque le gouvernement
οὐκ ἔτι ὑπονόμοις,	non plus par des mines,
ἀλλὰ ἤδη μηχαναῖς. »	mais déjà par des machines. »
Ἐπεὶ δὲ Καῖσαρ	Mais lorsque César
ἀπολογησάμενος πρὸς ταῦτα	s'étant défendu sur cela
ἔπεισε τὴν σύγκλητον,	eut persuadé l'assemblée,
οἱ θαυμάζοντες αὐτὸν	ceux admirant lui
ἐπήρθησαν ἔτι μᾶλλον,	s'exaltèrent encore davantage,
καὶ παρεκελεύοντο	et ils *l'*exhortaient
ὑφίεσθαι μηδενὶ	à *ne* se relâcher devant personne

ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

VII. Ἐν δὲ τούτῳ καὶ Μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν Ἰσαυρικοῦ καὶ Κάτλου μετιόντων, ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. Ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης, ὁ Κάτλος ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀῤῥωδῶν τὴν ἀδηλότητα, προσέπεμψε πείθων ἀποστῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. Ὁ δὲ καὶ πλείω προσδανεισάμενος ἔφη διαγωνιεῖσθαι. Τῆς δ' ἡμέρας ἐνστάσης καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης, ἀσπασάμενος αὐτήν· « Ὦ μῆτερ, εἶπε, τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν ἢ φυγάδα ὄψει. » Διενεχθείσης δὲ τῆς ψήφου καὶ γενομένης ἁμίλλης, ἐκράτησε, καὶ παρέσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. Ὅθεν οἱ περὶ Πείσωνα καὶ

personne, en l'assurant que, soutenu de la faveur du peuple, il l'emporterait sur tous ses rivaux et aurait un jour le premier rang dans Rome.

VII. La mort de Métellus ayant laissé vacante la place de grand-pontife, ce sacerdoce fut brigué avec chaleur par Isauricus et Catulus, deux des plus illustres personnages de Rome, et qui avaient le plus d'autorité dans le sénat. César, loin de céder à leur dignité, se présenta devant le peuple et opposa sa brigue à celle de ces deux rivaux. Le zèle de tous les partis étant à peu près égal, Catulus, qui, avec plus de dignité personnelle, craignait davantage l'issue de cette rivalité, fit offrir secrètement à César des sommes considérables, s'il voulait se désister de sa poursuite. Mais César répondit qu'il en emprunterait de plus grandes encore pour soutenir sa brigue. Le jour de l'élection, sa mère l'accompagna tout en larmes jusqu'à la porte de sa maison : « Ma mère, lui dit César en l'embrassant, vous verrez « aujourd'hui votre fils ou grand-pontife ou banni. » Quand on recueillit les suffrages, les contestations furent très-vives ; mais enfin César l'emporta, et un tel succès fit craindre au sénat et aux meilleurs citoyens qu'il ne prît assez d'ascendant sur le peuple, pour le porter

τοῦ φρονήματος·	de sa fierté :
περιέσεσθαι γὰρ	car *lui* devoir avoir-le-dessus
καὶ πρωτεύσειν πάντων	et devoir primer sur tous
τῷ δήμῳ ἑκόντι.	le peuple s'*y* prêtant.
VII. Ἐν δὲ τούτῳ	VII. Or sur ce
καὶ Μετέλλου τοῦ ἀρχιερέως	et Métellus le grand-pontife
τελευτήσαντος,	étant mort,
καὶ Ἰσαυρικοῦ καὶ Κάτλου,	et Isauricus et Catulus,
ἀνδρῶν ἐπιφανεστάτων	hommes très-illustres
καὶ δυναμένων μέγιστον ἐν βουλῇ,	et pouvant le plus dans le sénat,
μετιόντων τὴν ἱερωσύνην	briguant le sacerdoce
οὖσαν περιμάχητον,	qui était très-disputé,
ὁ Καῖσαρ οὐχ ὑπεῖξεν αὐτοῖς,	César ne céda pas à eux,
ἀλλὰ καταβὰς εἰς τὸν δῆμον	mais étant descendu vers le peuple
ἀντιπαρήγγελλεν.	il briguait-contre *eux*.
Τῆς δὲ σπουδῆς	Or la faveur-*populaire*
φαινομένης ἀγχωμάλου,	paraissant égale,
ὁ Κάτλος	Catulus
ἀπὸ μείζονος ἀξίας	à cause d'une plus grande dignité
ὀῤῥωδῶν μᾶλλον τὴν ἀδηλότητα,	redoutant plus l'incertitude,
προσέπεμψε	envoya *quelqu'un*
πείθων τὸν Καίσαρα	engageant César
ἀποστῆναι τῆς φιλοτιμίας	à se désister de sa rivalité
ἐπὶ πολλοῖς χρήμασιν.	pour beaucoup d'argent.
Ὁ δὲ ἔφη διαγωνιεῖσθαι	Mais celui-ci dit devoir lutter
προσδανεισάμενος καὶ πλείω.	ayant emprunté encore plus.
Τῆς δὲ ἡμέρας ἐνστάσης	Et le jour étant arrivé
καὶ τῆς μητρὸς	et sa mère
προπεμπούσης αὐτὸν	accompagnant lui
ἐπὶ τὰς θύρας οὐκ ἀδακρυτί,	aux portes non sans-larmes,
ἀσπασάμενος αὐτήν·	ayant embrassé elle :
« Ὦ μῆτερ, εἶπε, τήμερον	« O mère, dit-il, aujourd'hui
ὄψει τὸν υἱὸν	tu verras ton fils
ἢ ἀρχιερέα ἢ φυγάδα. »	ou grand-pontife ou banni. »
Τῆς δὲ ψήφου διενεχθείσης	Or le suffrage ayant été porté
καὶ ἁμίλλης γενομένης,	et une contestation ayant eu-lieu,
ἐκράτησε,	il l'emporta,
καὶ παρέσχε φόβον	et inspira de l'effroi
τῇ βουλῇ καὶ τοῖς ἀρίστοις	au sénat et aux nobles
ὡς προάξων τὸν δῆμον	comme devant exciter le peuple



Κάτλον ᾐτιῶντο Κικέρωνα, φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. Ὁ γὰρ δὴ Κατιλίνας, οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς, αὐτὸς μὲν ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις, πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι· Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχους ἀπέλιπε τῆς συνωμοσίας, οἷς εἰ μὲν κρύφα παρεῖχέ τι θάρσους καὶ δυνάμεως ὁ Καῖσαρ ἄδηλός ἐστιν· ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων καὶ Κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαστον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατοῦν ἐκέλευον· ὁ δὲ Καῖσαρ ἀναστὰς λόγον διῆλθε πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρίτους ἄνδρας ἀξιώματι καὶ γένει λαμπροὺς οὐ δοκεῖ πάτριον οὐδὲ δίκαιον εἶναι, μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης· εἰ δὲ φρουροῖντο δεθέντες ἐν πόλεσι τῆς Ἰτα-

aux plus grands excès. Ce fut alors que Pison et Catulus blâmèrent fort Cicéron d'avoir épargné César, qui avait donné prise sur lui dans la conjuration de Catilina. Celui-ci avait formé le complot, non-seulement de changer la forme du gouvernement, mais encore d'anéantir la république et de détruire l'empire romain. Dénoncé sur des indices assez légers, il sortit de Rome avant que tous ses projets eussent été découverts; mais il laissa Lentulus et Céthégus pour le remplacer dans la conduite de la conjuration. Il est douteux si César encouragea secrètement ces hommes audacieux et leur donna même quelques secours; ce qu'il y a de certain, c'est que ces deux conjurés ayant été convaincus en plein sénat par les preuves les plus évidentes, et Cicéron, alors consul, ayant demandé l'avis de chaque sénateur sur la punition des coupables, tous opinèrent à la mort, jusqu'à César, qui, s'étant levé, fit un discours préparé avec le plus grand soin; il soutint qu'il n'était conforme ni à la justice, ni aux coutumes des Romains, à moins d'une extrême nécessité, de faire mourir des hommes distingués par leur naissance et par leur dignité, sans leur avoir fait leur procès dans les formes; qu'il lui paraissait plus juste de les renfermer étroitement dans telles villes de l'Italie que Cicéron voudrait choisir, jusqu'après la défaite de Catilina;

ἐπὶ πᾶν θρασύτητος.	au comble de l'audace.
Ὅθεν οἱ περὶ Πείσωνα	D'où ceux *étant* autour de Pison
καὶ Κάτλον	et de Catulus
ᾐτιῶντο Κικέρωνα,	accusaient Cicéron,
φεισάμενον Καίσαρος	qui avait ménagé César
παρασχόντος λαβὴν	lequel avait donné prise
ἐν τοῖς περὶ Κατιλίναν.	dans les *affaires* de Catilina.
Ὁ γὰρ δὴ Κατιλίνας,	Car certes Catilina,
διανοηθεὶς οὐ μόνον	ayant résolu non-seulement
μεταβαλεῖν τὴν πολιτείαν,	de changer le gouvernement,
ἀλλὰ ἀνελεῖν τὴν ἡγεμονίαν ὅλην	mais de détruire la république entière
καὶ συγχέαι πάντα τὰ πράγματα,	et de bouleverser toutes les affaires,
ἐξέπεσε μὲν αὐτὸς	fut chassé il-est-vrai lui-même
περιπταίσας ἐλάττοσιν ἐλέγχοις,	ayant échoué par de moindres indices
πρὸ τοῦ τὰς ἐσχάτας βουλὰς αὐτοῦ	avant les derniers desseins de lui
ἀποκαλυφθῆναι·	avoir été découverts :
ἀπέλιπε δὲ ἐν τῇ πόλει	mais il laissa dans la ville
διαδόχους τῆς συνωμοσίας	*comme* successeurs de la conjuration
Λέντλον καὶ Κέθηγον,	Lentulus et Céthégus,
οἷς μὲν ὁ Καῖσαρ	auxquels à-la-vérité César
ἐστὶν ἄδηλος	est incertain
εἰ παρεῖχε κρύφα	s'il donnait secrètement
τι θάρσους καὶ δυνάμεως·	un peu d'audace et de force ;
ἐξελεγχθέντων δὲ	mais *ceux-ci* ayant été convaincus
κατὰ κράτος ἐν τῇ βουλῇ	par force dans le sénat
καὶ τοῦ ὑπάτου Κικέρωνος	et le consul Cicéron
ἐρωτῶντος ἕκαστον	interrogeant chacun
περὶ κολάσεως,	sur le châtiment *à infliger,*
οἱ μὲν ἄλλοι μέχρι Καίσαρος	les autres *sénateurs* jusqu'à César
ἐκέλευον θανατοῦν·	ordonnaient de *les* mettre-à-mort ;
ὁ δὲ Καῖσαρ ἀναστὰς	mais César s'étant levé
διῆλθε λόγον πεφροντισμένον,	prononça un discours médité,
ὡς ἀποκτεῖναι μὲν ἀκρίτους	*disant* que tuer sans-jugement
ἄνδρας λαμπροὺς	des hommes distingués
ἀξιώματι καὶ γένει	par le rang et la naissance
οὐ δοκεῖ εἶναι	ne semble pas être
πάτριον οὐδὲ δίκαιον,	conforme-à-l'usage ni juste,
μὴ	*la chose* n'*étant* pas
μετὰ τῆς ἐσχάτης ἀνάγκης·	avec la dernière nécessité
εἰ δὲ δεθέντες	mais si étant enchaînés

λίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρις οὗ καταπολεμηθῇ Κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι παρέξει[1].

VIII. Οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης καὶ τοῦ λόγου δυνατῶς ἐπ' αὐτῇ ῥηθέντος, οὐ μόνον οἱ μετὰ τοῦτον ἀνιστάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι, πρὸς τὴν ἐκείνου μετέστησαν, ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθε. Τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ, καὶ συνεξαναστάντος ἐῤῥωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν· αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι

qu'alors le sénat pourrait, pendant la paix, délibérer à loisir sur ce qu'il conviendrait de faire de ces accusés.

VIII. Cet avis, qui parut plus humain et qu'il avait appuyé de toute la force de son éloquence, fit une telle impression, qu'il fut adopté par tous les sénateurs qui parlèrent après lui; plusieurs même de ceux qui avaient déjà opiné revinrent à son sentiment; mais lorsque Caton et Catulus furent en tour de dire leur avis, ils s'élevèrent avec force contre l'opinion de César; Caton surtout ayant insisté sans ménagement sur les soupçons qu'on avait contre lui, les ayant même fortifiés par de nouvelles preuves, les conjurés furent envoyés au supplice, et lorsque César sortit du sénat, plusieurs des jeunes Romains, qui servaient alors de gardes à Cicéron, coururent sur lui l'épée nue à la main; mais Curion le couvrit de sa toge et lui donna le moyen de s'échapper. Cicéron lui-même, sur qui ces jeunes gens

φρουροῖντο	ils étaient gardés
ἐν πόλεσι τῆς Ἰταλίας,	dans des villes de l'Italie,
ἃς Κικέρων αὐτὸς ἂν ἕληται,	que Cicéron lui-même aurait choisies,
μέχρις οὗ Κατιλίνας	jusqu'à ce que Catilina
καταπολεμηθῇ,	ait été vaincu,
παρέξει ὕστερον τῇ βουλῇ	il sera permis plus-tard au sénat
γνῶναι περὶ ἑκάστου	de statuer sur chacun
ἐν εἰρήνῃ καὶ κατὰ ἡσυχίαν.	en paix et à loisir.
VIII. Τῆς δὲ γνώμης	VIII. Or cette opinion
φανείσης οὕτω φιλανθρώπου	ayant paru tellement humaine
καὶ τοῦ λόγου	et le discours ·[celle,
ῥηθέντος δυνατῶς ἐπὶ αὐτῇ,	ayant été prononcé avec-force sur
οὐ μόνον	non seulement
οἱ ἀνιστάμενοι μετὰ τοῦτον	ceux se levant après celui-ci
προσετίθεντο,	se joignaient-à *lui*,
πολλοὶ δὲ καὶ	mais beaucoup même
τῶν πρὸ αὐτοῦ	de ceux avant lui
ἀπειπάμενοι	ayant rétracté
τὰς γνώμας εἰρημένας,	les opinions dites *par eux*,
μετέστησαν πρὸς τὴν ἐκείνου,	se rangèrent à celle de celui-ci,
ἕως τὸ πρᾶγμα περιῆλθεν	jusqu'à ce que la chose arriva
ἐπὶ Κάτωνα καὶ Κάτλον.	à Caton et Catulus.
Τούτων δὲ ἐναντιωθέντων	Ceux-ci s'étant opposés
νεανικῶς,	avec-une-ardeur-juvénile,
Κάτωνος δὲ	et Caton
καὶ συνεπερείσαντος ἅμα	ayant même appuyé à la fois
τὴν ὑπόνοιαν	les soupçons *contre César*
τῷ λόγῳ αὐτῷ,	avec le discours même *dit par lui*,
καὶ συνεξαναστάντος ἐῤῥωμένως,	et s'étant élevé avec force *contre lui*,
οἱ μὲν ἄνδρες παρεδόθησαν	les hommes *conjurés* furent livrés
ἀποθανούμενοι,	devant mourir,
πολλοὶ δὲ τῶν νέων	et beaucoup des jeunes *gens*
φρουρούντων τότε Κικέρωνα	gardant alors Cicéron
συνδραμόντες	étant accourus
ἐπέσχον τὰ ξίφη γυμνὰ	opposèrent leurs épées nues
Καίσαρι ἐξιόντι τῆς βουλῆς.	à César sortant du sénat.
Ἀλλὰ Κουρίων τε λέγεται	Mais et Curion est dit
περιβαλὼν τῇ τηβέννῳ	*l'*ayant enveloppé de sa toge
ὑπεξαγαγεῖν·	*l'*avoir fait-échapper ;
ὅ τε Κικέρων αὐτὸς,	et Cicéron lui-même,

προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δ' εἶχεν ὕστερον, ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον[1] ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος. Ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας, εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου, καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε μετὰ κραυγῆς, καὶ περιέστη τὴν σύγκλητον, ἀπαιτῶν τὸν ἄνδρα καὶ κελεύων ἀφεῖναι. Διὸ καὶ Κάτων, φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν, ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες,

jetèrent les yeux, comme pour recevoir de lui l'ordre de le tuer, les arrêta, soit qu'il craignît le peuple, soit qu'il crût ce meurtre tout à fait injuste et contraire aux lois. Si ces particularités sont vraies, je ne sais pourquoi Cicéron n'en a rien dit dans l'histoire de son consulat; mais dans la suite il fut blâmé de n'avoir pas saisi une occasion si favorable de se défaire de César, et d'avoir trop redouté l'affection singulière du peuple pour ce jeune Romain. Au reste, peu de jours après, César étant entré au sénat pour se justifier des soupçons qu'on avait conçus contre lui, y essuya les plus violents reproches. Comme l'assemblée se prolongeait au delà du terme ordinaire, le peuple accourut en foule, environna le sénat en jetant de grands cris, et demanda, d'un ton impérieux, qu'on laissât sortir César. Caton, qui craignait quelque entreprise de la part des indigents de Rome, de ces boute-feux de la multitude, qui avaient mis en César toutes leurs

ὡς οἱ νεανίσκοι	comme les jeunes-gens
προσέβλεψαν,	*le* regardèrent
ἀνανεῦσαι,	*est dit* avoir fait-un-signe-négatif,
φοβηθεὶς τὸν δῆμον,	ayant craint le peuple,
ἢ ἡγούμενος τὸν φόνον	ou pensant ce meurtre
ὅλως ἄδικον καὶ παράνομον.	tout-à-fait injuste et illégal.
Οὐκ οἶδα μὲν οὖν	Je ne sais pas à-la-vérité
ὅπως ὁ Κικέρων	comment Cicéron
οὐκ ἔγραψε τοῦτο,	n'a pas écrit cela,
εἴπερ ἦν ἀληθὲς,	si *c*'était vrai,
ἐν τῷ περὶ τῆς ὑπατείας·	dans le *livre* sur son consulat :
εἶχε δὲ αἰτίαν	mais il avait une accusation
ὕστερον,	plus-tard,
ὡς μὴ χρησάμενος ἄριστα	comme n'ayant pas profité très-bien
τῷ καιρῷ παρασχόντι τότε	de l'occasion qui se présenta alors
κατὰ τοῦ Καίσαρος,	contre César,
ἀλλὰ ἀποδειλιάσας τὸν δῆμον	mais ayant eu-peur du peuple
περιεχόμενον τοῦ Καίσαρος	qui protégeait César
ὑπερφυῶς.	extraordinairement.
Ὅς γε καὶ	Lequel *peuple* certes aussi
μετὰ ὀλίγας ἡμέρας,	après peu de jours,
αὐτοῦ εἰσελθόντος εἰς τὴν βουλὴν	lui (*César*) étant entré dans le sénat
καὶ ἀπολογουμένου	et se défendant
περὶ ὧν	*sur les choses* sur lesquelles
ἦν ἐν ὑποψίαις,	il était en suspicion,
καὶ περιπίπτοντος	et rencontrant
θορύβοις πονηροῖς,	un tumulte hostile,
ἐπειδὴ χρόνος ἐγίγνετο	comme le temps devenait
πλείων τοῦ συνήθους	plus long *que* le *temps* habituel
τῇ βουλῇ καθεζομένῃ,	au sénat siégeant,
ἐπῆλθε μετὰ κραυγῆς,	entra avec des cris,
καὶ περιέστη τὴν σύγκλητον,	et entoura l'assemblée,
ἀπαιτῶν τὸν ἄνδρα	réclamant cet homme
καὶ κελεύων ἀφεῖναι.	et ordonnant de *le* laisser-sortir
Διὸ καὶ Κάτων,	C'est pourquoi même Caton,
φοβηθεὶς μάλιστα	ayant craint surtout
τὸν νεωτερισμὸν ἐκ τῶν ἀπόρων,	l'innovation *venant* des nécessiteux.
οἳ ἦσαν ὑπέκκαυμα	lesquels étaient le boute-feu
παντὸς τοῦ πλήθους,	de toute la multitude,
ἔχοντες τὰς ἐλπίδας ἐν τῷ Καίσαρι,	ayant leurs espérances en César,

ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν ἑπτακόσιαι[1] πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι. Τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσε περιφανῶς τὸ πολίτευμα τοῦτο, καὶ τὸ πλεῖστον ἀπέῤῥηξε τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν ἐν καιρῷ, στρατηγεῖν μέλλοντος καὶ φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος.

XI[2]. Ὁ δὲ Καῖσαρ εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν ἐπαρχιῶν τὴν Ἰβηρίαν[3] λαβὼν, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε, πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήϊον ἀντιπολιτείαν. Ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν, καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα τα-

espérances, conseilla au sénat de faire tous les mois à cette classe du peuple une distribution de blé, qui n'ajouterait aux dépenses ordinaires de l'année que sept millions cinq cent mille drachmes. Cette sage politique fit évanouir pour le moment la crainte du sénat; elle affaiblit et dissipa même en grande partie l'influence de César, dans un temps où l'autorité de la préture allait le rendre bien plus redoutable.

XI. César, aussitôt après avoir obtenu la préture, fut désigné par le sort pour aller commander en Espagne. Ses créanciers, qu'il était hors d'état de satisfaire, le voyant sur son départ, vinrent crier après lui et solliciter le paiement de leurs créances. Il eut donc recours à Crassus, le plus riche des Romains, qui avait besoin de la chaleur et de l'activité de César pour se soutenir contre Pompée, son rival en administration. Crassus s'engagea envers les créanciers les plus difficiles et les moins traitables pour la somme de huit cent trente talents. César, dont il se rendit caution, fut libre de partir pour son

ἔπεισε τὴν σύγκλητον	persuada l'assemblée
ἀπονεῖμαι αὐτοῖς	de distribuer à eux
σιτηρέσιον ἔμμηνον,	une ration mensuelle,
ἐξ οὗ	par suite de laquelle
ἑπτακόσιαι πεντήκοντα μυριάδες	sept-cent cinquante myriades
ἐνιαύσιοι δαπάνης	annuelles de dépense
προσεγίνοντο	s'ajoutaient
τοῖς ἄλλοις ἀναλώμασι.	aux autres frais.
Τοῦτο μέντοι τὸ πολίτευμα	Certainement cette mesure politique
ἔσβεσε περιφανῶς	éteignit remarquablement
τὸν μέγαν φόβον	la grande terreur
ἐν τῷ παρόντι,	dans le *moment* présent,
καὶ ἀπέῤῥηξε καὶ διεσκέδασεν	et brisa et dissipa
ἐν καιρῷ	à propos
τὸ πλεῖστον	la plus grande *partie*
τῆς δυνάμεως Καίσαρος,	de la puissance de César,
μέλλοντος στρατηγεῖν	qui était-sur-le-point d'être-préteur
καὶ ὄντος φοβερωτέρου	et qui était plus redoutable
διὰ τὴν ἀρχήν.	à cause de sa charge.
XI. Ὁ δὲ Καῖσαρ	XI. Mais César
εὐθὺς ἀπὸ τῆς στρατηγίας	aussitôt après la préture
λαβὼν τὴν Ἰβηρίαν	ayant reçu l'Espagne
τῶν ἐπαρχιῶν,	d'entre les provinces,
ὡς τὸ περὶ τοὺς δανειστὰς	comme l'*affaire* avec les créanciers
ἐνοχλοῦντας ἐξιόντι	qui gênaient *lui* sortant
καὶ καταβοῶντας	et qui criaient-contre *lui*
ἦν αὐτῷ δυσδιάθετον,	était à lui difficile-à-arranger,
κατέφυγεν ἐπὶ Κράσσον,	eut-recours à Crassus,
ὄντα πλουσιώτατον Ῥωμαίων,	qui était le plus riche des Romains,
δεόμενον δὲ τῆς ἀκμῆς	et qui avait-besoin de l'influence
καὶ θερμότητος Καίσαρος	et de l'ardeur de César
ἐπὶ τὴν ἀντιπολιτείαν	pour sa rivalité-politique
πρὸς Πομπήϊον.	avec Pompée.
Τοῦ δὲ Κράσσου ἀναδεξαμένου	Or Crassus s'étant chargé
τοὺς μάλιστα χαλεποὺς	des plus difficiles
καὶ ἀπαραιτήτους	et intraitables
τῶν δανειστῶν,	des créanciers,
καὶ διεγγυήσαντος ὀκτακοσίων	et s'étant-engagé-pour huit-cents
καὶ τριάκοντα ταλάντων,	et trente talents,
ἐξῆλθεν οὕτως ἐπὶ τὴν ἐπαρχίαν.	*César* partit ainsi pour sa province.

λάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. Λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβάλλοντος αὐτοῦ, καὶ πολίχνιόν τι βαρβαρικὸν, οἰκούμενον ὑπ' ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρὸν παρερχομένου, τοὺς ἑταίρους ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς· « Ἦπου, φάναι, κἀνταῦθά τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι καὶ περὶ πρωτείων ἅμιλλαι καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλους; » Τὸν δὲ Καίσαρα σπουδάσαντα πρὸς αὐτοὺς εἰπεῖν· « Ἐγὼ μὲν ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος ἢ παρὰ Ῥωμαίοις δεύτερος. » Ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ, σχολῆς οὔσης, ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρου γεγραμμένων, σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν, εἰπεῖν· « Οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν Ἀλέξανδρος ἤδη τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται; »

XII. Τῆς γοῦν Ἰβηρίας ἐπιβὰς, εὐθὺς ἦν ἐνεργὸς, ὥσθ' ἡμέ-

gouvernement. On dit qu'en traversant les Alpes, il passa dans une petite ville occupée par des Barbares, et qui n'avait qu'un petit nombre de misérables habitants. Ses amis lui ayant demandé, en plaisantant, s'il croyait qu'il y eût dans cette ville des brigues pour les charges, des rivalités pour le premier rang, des jalousies entre les citoyens les plus puissants, César leur répondit très-sérieusement qu'il aimerait mieux être le premier parmi ces Barbares que le second dans Rome. Pendant son séjour en Espagne, il lisait, un jour de loisir, des particularités de la vie d'Alexandre; et, après quelques moments de réflexion, il se mit à pleurer. Ses amis, étonnés, lui en demandèrent la cause : « N'est-ce pas pour moi, leur dit-il, un juste « sujet de douleur, qu'Alexandre, à l'âge où je suis, eût déjà con- « quis tant de royaumes, et que je n'aie encore rien fait de mémo- « rable ? »

XII. A peine arrivé en Espagne il ne perdit pas un moment, et en

Λέγεται δὲ,	Et il est dit,
αὐτοῦ ὑπερβάλλοντος τὰς Ἄλπεις,	lui franchissant les Alpes,
καὶ παρερχομένου	et traversant
τι πολίχνιον βαρβαρικὸν	certaine petite-ville barbare
οἰκούμενον ὑπὸ ἀνθρώπων	habitée par des hommes
παντάπασιν ὀλίγων	tout-à-fait peu-nombreux
καὶ λυπρὸν,	et triste,
τοὺς ἑταίρους ἅμα γέλωτι	ses compagnons avec rire
καὶ μετὰ παιδιᾶς·	et avec plaisanterie :
« Ἦπου, φάναι,	« Certes, avoir dit,
καὶ ἐνταῦθα	*est-ce-que* même ici
εἰσί τινες φιλοτιμίαι	sont quelques rivalités
ὑπὲρ ἀρχῶν	pour des charges
καὶ ἅμιλλαι περὶ πρωτείων	et des contestations pour primautés
καὶ φθόνοι τῶν δυνατῶν	et des jalousies des puissants
πρὸς ἀλλήλους ; »	les uns contre les autres ? »
Τὸν δὲ Καίσαρα σπουδάσαντα	Mais César ayant parlé-sérieusement
εἰπεῖν πρὸς αὐτούς·	avoir dit à eux :
« Ἐγὼ μὲν ἐβουλόμην μᾶλλον	« Moi certes je voudrais plutôt
εἶναι πρῶτος παρὰ τούτοις	être le premier parmi ceux-ci
ἢ δεύτερος παρὰ Ῥωμαίοις. »	que le second parmi les Romains. »
Ὁμοίως δὲ πάλιν	Et semblablement de nouveau
ἐν Ἰβηρίᾳ,	en Espagne,
σχολῆς οὔσης,	du loisir étant *à lui*,
ἀναγινώσκοντά τι	lisant quelque *chose*
τῶν γεγραμμένων	de celles écrites
περὶ Ἀλεξάνδρου,	sur Alexandre,
γενέσθαι σφόδρα πρὸς ἑαυτῷ	avoir été fortement en soi-même
πολὺν χρόνον,	un long temps,
εἶτα καὶ δακρῦσαι·	puis aussi avoir pleuré :
τῶν δὲ φίλων	et ses amis
θαυμασάντων τὴν αἰτίαν,	étant étonnés du motif,
εἰπεῖν· « Οὐ δοκεῖ ὑμῖν	avoir dit : « Ne semble-t-il pas à vous
εἶναι ἄξιον λύπης,	être digne de chagrin,
εἰ Ἀλέξανδρος μὲν	si Alexandre d'une part
ὢν τηλικοῦτος	étant de-cet-âge
ἐβασίλευεν ἤδη τοσούτων,	régnait déjà sur tant *de peuples*,
οὐδὲν δὲ λαμπρὸν	et *que* d'autre part rien d'éclatant
οὔπω πέπρακται ἐμοί ; »	n'ait encore été fait par moi ? »
XII. Ἐπιβὰς γοῦν	XII. Du moins avant mis-le-pied

ραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι· καὶ στρατεύσας ἐπὶ Καλλαϊκοὺς[1] καὶ Λουσιτανοὺς, κρατῆσαι, καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης[2], τὰ μὴ πρότερον ὑπακούοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. Θέμενος δὲ τὰ τοῦ πολέμου καλῶς, οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης, ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς, καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν ἰώμενος διαφοράς. Ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι καθ' ἕκαστον ἐνιαυτὸν δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην, ἄχρις ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. Ἐπὶ τούτοις εὐδοκιμῶν ἀπηλλάγη τῆς ἐπαρχίας, αὐτός τε πλούσιος γεγονὼς, καὶ τοὺς στρατιώτας ὠφεληκὼς ἀπὸ τῶν στρατηγιῶν, καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

XIII. Ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν παρόντας ἐν τῇ πόλει τοῦτο

peu de jours il eut mis sur pied dix cohortes, qu'il joignit aux vingt qu'il y avait trouvées : marchant à leur tête contre les Calléciens et les Lusitaniens, il vainquit ces deux peuples, et s'avança jusqu'à la mer extérieure, en subjuguant des nations qui n'avaient jamais été soumises aux Romains. A la gloire des succès militaires il ajouta celle d'une sage administration pendant la paix; il rétablit la concorde dans les villes, et s'appliqua surtout à terminer les différends qui s'élevaient chaque jour entre les créanciers et les débiteurs. Il ordonna que les premiers prendraient tous les ans les deux tiers des revenus des débiteurs, et que ceux-ci auraient l'autre tiers jusqu'à l'entier acquittement de la dette. La sagesse de ce règlement lui fit beaucoup d'honneur; il quitta son gouvernement après s'y être enrichi, et avoir procuré des gains considérables à ses soldats, qui, avant son départ, le saluèrent du titre d'*imperator*.

XIII. Les Romains qui demandaient l'honneur du triomphe étaient obligés de demeurer hors de la ville; et, pour briguer le consulat,

τῆς Ἰβηρίας,	en Espagne,
εὐθὺς ἦν ἐνεργός,	aussitôt il fut actif,
ὥστε συναγαγεῖν ὀλίγαις ἡμέραις	au point de réunir en peu de jours
δέκα σπείρας πρὸς ταῖς εἴκοσιν	dix cohortes aux vingt
οὔσαις πρότερον·	qui *y* étaient auparavant :
καὶ στρατεύσας	et s'étant mis-en-campagne
ἐπὶ Καλλαϊκοὺς	contre les Calléciens
καὶ Λουσιτανούς,	et les Lusitaniens,
κρατῆσαι, καὶ προελθεῖν	*les* avoir vaincus, et s'être avancé
ἄχρι τῆς θαλάσσης (τῆς) ἔξω,	jusqu'à la mer *du* dehors,
καταστρεφόμενος τὰ ἔθνη	subjuguant les nations
μὴ ὑπακούοντα πρότερον	n'étant pas soumises auparavant
Ῥωμαίοις.	aux Romains.
Θέμενος δὲ καλῶς	Mais ayant arrangé bien
τὰ τοῦ πολέμου,	les *affaires* de la guerre
οὐκ ἐβράβευε χεῖρον	il n'administrait pas moins bien
τὰ τῆς εἰρήνης,	celles de la paix,
καθιστάς τε	et établissant
ὁμόνοιαν ταῖς πόλεσι,	la concorde entre les villes,
καὶ μάλιστα ἰώμενος τὰς διαφορὰς	et surtout guérissant les différends
τῶν χρεωφειλετῶν καὶ δανειστῶν.	des débiteurs et des créanciers.
Ἔταξε γὰρ τὸν μὲν δανειστὴν	Car il régla d'une part le créancier
ἀναιρεῖσθαι κατὰ ἕκαστον ἐνιαυτὸν	prendre par chaque année
δύο μέρη	deux parts
τῶν προσιόντων τοῖς ὀφείλουσι,	des *biens* revenant aux débiteurs,
τὸν δὲ δεσπότην	et d'autre part le possesseur
χρῆσθαι τῷ λοιπῷ,	se servir du reste *de sa fortune*,
ἄχρι τὸ δάνειον	jusqu'à ce que la dette
ἂν ἐκλυθῇ οὕτως.	fût acquittée ainsi.
Εὐδοκιμῶν ἐπὶ τούτοις	Estimé pour cela
ἀπηλλάγη τῆς ἐπαρχίας,	il sortit de sa province,
αὐτός τε γεγονὼς πλούσιος,	et lui-même devenu riche,
καὶ ὠφεληκὼς τοὺς στρατιώτας	et ayant aidé ses soldats
ἀπὸ τῶν στρατηγιῶν,	*du produit* de ses commandements,
καὶ προσηγορευμένος ὑπὸ αὐτῶν	et ayant été proclamé par eux
αὐτοκράτωρ.	*imperator*. [côté
XIII. Ἐπεὶ δὲ ἔδει μὲν	XIII. Mais comme il fallait d'un
τοὺς μνωμένους θρίαμβον	ceux aspirant au triomphe
διατρίβειν ἔξω,	rester hors *de la ville*,
τοὺς δὲ μετιόντας ὑπατείαν	et de l'autre ceux briguant le consulat

πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ, καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον αἰτούμενος αὐτῷ δοθῆναι παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα, ὡς ἑώρα πολλοὺς τεθεραπευμένους ὑπὸ τοῦ Καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς, ὑποδύεται πολίτευμά τι πάντας ἀνθρώπους ἐξαπατῆσαν πλὴν Κάτωνος. Ἦν δὲ τοῦτο διαλλαγὴ Πομπηΐου καὶ Κράσσου, τῶν μέγιστον ἐν τῇ πόλει δυναμένων· οὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς, καὶ τὴν ἀπ' ἀμφοῖν συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν, ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν ἔλαθε μεταστήσας τὴν πολιτείαν. Οὐ γὰρ, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ Καίσαρος καὶ Πομπηΐου διαφορὰ τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους, ἀλλὰ

il fallait être dans Rome. César, arrêté par ces lois contraires, car on était à la veille des comices consulaires, envoya demander au sénat la permission de solliciter le consulat par ses amis, en restant hors de la ville. Caton, s'appuyant sur la loi, combattit vivement la prétention de César; mais, voyant que celui-ci avait mis plusieurs sénateurs dans ses intérêts, il chercha à gagner du temps, et employa le jour entier à dire son opinion. César alors prit le parti d'abandonner le triomphe et de briguer le consulat. Il entra dans Rome, et fit une action d'éclat, dont tout le monde, excepté Caton, fut la dupe : il réconcilia Crassus et Pompée, les deux hommes qui avaient le plus de pouvoir dans la ville. César apaisa leurs dissensions, les remit bien ensemble; et par là il réunit en lui seul la puissance de l'un et de l'autre. On ne s'aperçut pas que ce fut cette action, en apparence si honnête, qui causa le renversement de la république. En effet, ce fut moins l'inimitié de César et de Pompée, comme on le croit communément, qui donna naissance aux guerres

πράττειν τοῦτο	faire cela
παρόντας ἐν τῇ πόλει,	étant présents dans la ville,
γεγονὼς ἐν τοιαύτῃ ἀντινομίᾳ	se trouvant dans un tel conflit-de-lois
καὶ ἀφιγμένος	et étant arrivé
πρὸς τὰς ἀρχαιρεσίας ὑπατικὰς	à l'époque des comices consulaires
αὐτὰς, ἔπεμψε πρὸς τὴν σύγκλητον	eux-mêmes, il envoya au sénat
αἰτούμενος δοθῆναι αὐτῷ ἀπόντι	demandant être accordé à lui absent
παραγγέλλειν	de se-mettre-sur-les-rangs
εἰς ὑπατείαν	pour le consulat
διὰ τῶν φίλων.	par-l'intermédiaire-de ses amis.
Κάτωνος δὲ πρῶτον μὲν	Mais Caton d'abord
ἰσχυριζομένου τῷ νόμῳ	se-faisant-fort de la loi
πρὸς τὴν ἀξίωσιν,	contre cette demande,
εἶτα, ὡς ἑώρα πολλοὺς	puis, comme il voyait plusieurs
τεθεραπευμένους	ayant été gagnés
ὑπὸ τοῦ Καίσαρος,	par César,
ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα	ayant différé par le temps l'affaire
καὶ κατατρίψαντος τὴν ἡμέραν	et ayant consumé la journée
ἐν τῷ λέγειν,	à parler,
ὁ Καῖσαρ ἔγνω	César résolut
ἀφεὶς τὸν θρίαμβον	laissant-de-côté le triomphe
ἔχεσθαι τῆς ὑπατείας·	de s'attacher au consulat :
καὶ παρελθὼν εὐθὺς,	et étant venu aussitôt,
ὑποδύεταί τι πολίτευμα	il machine une mesure-politique
ἐξαπατῆσαν πάντας ἀνθρώπους	qui trompa tous les hommes
πλὴν Κάτωνος.	excepté Caton.
Τοῦτο δὲ ἦν διαλλαγὴ	Or cette *mesure* était la réconciliation
Πομπηΐου καὶ Κράσσου,	de Pompée et de Crassus,
τῶν δυναμένων μέγιστον	qui pouvaient le plus
ἐν τῇ πόλει·	dans la république :
οὓς ὁ Καῖσαρ συναγαγὼν	lesquels César ayant ramenés
ἐκ διαφορᾶς εἰς φιλίαν,	de dissension en amitié,
καὶ συνενεγκάμενος εἰς ἑαυτὸν	et ayant reporté sur soi-même
τὴν ἰσχὺν ἀπὸ ἀμφοῖν,	la puissance de tous deux,
ἔλαθε μεταστήσας	fut ignoré ayant renversé
τὴν πολιτείαν ἔργῳ	le gouvernement par un acte
ἔχοντι προσηγορίαν φιλάνθρωπον.	qui avait nom d'-humanité.
Ἡ γὰρ διαφορὰ	Car le différend
Καίσαρος καὶ Πομπηΐου	de César et de Pompée
οὐκ ἀπειργάσατο	ne produisit pas

μᾶλλον ἡ φιλία συστάντων ἐπὶ καταλύσει τῆς ἀριστοκρατιας τὸ πρῶτον, εἶτα οὕτω καὶ πρὸς ἀλλήλους διαστάντων. Κάτωνι δὲ πολλάκις τὰ μέλλοντα προθεσπίζοντι περιῆν δυσκόλου μὲν ἀνθρώπου τότε καὶ πολυπράγμονος, ὕστερον δὲ φρονίμου μὲν, οὐκ εὐτυχοῦς δὲ συμβούλου λαβεῖν δόξαν.

XIV. Οὐ μὴν ἀλλ' ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσου καὶ Πομπηΐου φιλίας δορυφορούμενος, ἐπὶ τὴν ὑπατείαν προήχθη, καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπουρνίου Βίβλου, καὶ καταστὰς εἰς τὴν ἀρχὴν, εὐθὺς εἰσέφερε νόμους οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρουχίας τινὰς χώρας καὶ διανομὰς εἰσηγούμενος. Ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε κἀγαθῶν ἀντικρουσάντων, πάλαι δεόμενος προφάσεως, ἀνακραγὼν καὶ μαρτυράμενος ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο, θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης ὕβρει καὶ

civiles, que leur amitié même, qui les réunit d'abord pour renverser le gouvernement aristocratique, et qui aboutit ensuite à une rupture ouverte entre ces deux rivaux. Caton, qui prédit souvent le résultat de leur liaison, n'y gagna alors que de passer pour un homme difficile et chagrin : dans la suite, l'événement le justifia ; et l'on reconnut qu'il avait dans ses conseils plus de prudence que de bonheur.

XIV. César, en se présentant aux comices, entouré de la faveur de Crassus et de Pompée, fut porté avec le plus grand éclat à la dignité de consul : on lui donna pour collègue Calpurnius Bibulus. Il était à peine entré en exercice de sa charge, qu'il publia des lois dignes, non d'un consul, mais du tribun le plus audacieux. Il proposa, par le seul motif de plaire au peuple, des partages de terres et des distributions de blé. Les premiers et les plus honnêtes d'entre les sénateurs s'élevèrent contre ces lois ; et César, qui depuis longtemps ne cherchait qu'un prétexte pour se déclarer, protesta hautement qu'on le poussait malgré lui vers le peuple ; que l'injustice et la dureté du sénat le mettaient dans la nécessité de faire la cour à la multitude :

τοὺς πολέμους ἐμφυλίους,	les guerres civiles,
ὡς οἱ πλεῖστοι νομίζουσιν,	comme la plupart *le* pensent,
ἀλλὰ μᾶλλον ἡ φιλία	mais plutôt l'amitié
συστάντων τὸ πρῶτον	d'*eux* ligués d'abord
ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας,	pour la ruine de l'aristocratie,
εἶτα διαστάντων οὕτω	puis divisés ainsi
καὶ πρὸς ἀλλήλους.	même l'un contre l'autre.
Περιῆν δὲ Κάτωνι	Mais il arriva à Caton
προθεσπίζοντι πολλάκις	qui prédisait souvent
τὰ μέλλοντα	les *choses* devant arriver
λαβεῖν τότε μὲν δόξαν	de prendre alors la réputation
ἀνθρώπου δυσκόλου	d'un homme fâcheux
καὶ πολυπράγμονος,	et tracassier,
ὕστερον δὲ συμβούλου	et plus tard d'un conseiller
φρονίμου μὲν, οὐκ εὐτυχοῦς δέ.	sage il-est-vrai, mais non heureux.
XIV. Οὐ μὴν ἀλλὰ ὁ Καῖσαρ	XIV. Cependant César
δορυφορούμενος	escorté
ἐν μέσῳ τῆς φιλίας	au milieu de l'amitié
Κράσσου καὶ Πομπηΐου,	de Crassus et de Pompée,
προήχθη ἐπὶ τὴν ὑπατείαν,	fut conduit au consulat,
καὶ ἀναγορευθεὶς λαμπρῶς	et ayant été proclamé avec-éclat
μετὰ Καλπουρνίου Βίβλου,	avec Calpurnius Bibulus,
καὶ καταστὰς εἰς τὴν ἀρχὴν,	et étant entré en charge,
εὐθὺς εἰσέφερε νόμους	aussitôt portait des lois
προσήκοντας οὐχ ὑπάτῳ,	convenant non à un consul,
ἀλλά τινι δημάρχῳ θρασυτάτῳ,	mais à quelque tribun très-téméraire,
εἰσηγούμενος	proposant
τινὰς κληρουχίας χώρας	certains partages de terre
καὶ διανομὰς	et des distributions *de blé*
πρὸς ἡδονὴν τῶν πολλῶν.	pour l'agrément de la multitude.
Ἐν δὲ τῇ βουλῇ	Mais dans le sénat
τῶν καλῶν τε καὶ ἀγαθῶν	les *gens* honnêtes et vertueux
ἀντικρουσάντων,	s'étant opposés,
δεόμενος πάλαι	*César* demandant depuis-longtemps
προφάσεως,	un prétexte,
ἀνακραγὼν καὶ μαρτυράμενος	ayant crié et protesté
ὡς ἄκων ἐξελαύνοιτο	que malgré-lui il était poussé
εἰς τὸν δῆμον,	vers le peuple,
θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης	devant caresser celui-ci par nécessité
ὕβρει καὶ χαλεπότητι	*à cause* de l'insolence et de la dureté

χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησε· καὶ περιστησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήϊον, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοῖεν. Ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τοὺς ἐνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. Ἐκεῖνοι δ' ὑπισχνοῦντο· Πομπήϊος δὲ καὶ προσεπεῖπεν ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους καὶ θυρεὸν κομίζων. Ἐπὶ τούτῳ τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν, οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς οὐδὲ τῇ πρὸς τὴν σύγκλητον εὐλαβείᾳ πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας· ὁ δὲ δῆμος ἥσθη. Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηΐου δυνάμεως ἐπιδραττόμενος (ἦν γὰρ αὐτῷ Ἰουλία θυγάτηρ ἐγγεγυημένη Σερουϊλίῳ Καιπίωνι), ταύτην ἐνεγύησε Πομπηΐῳ· τὴν δὲ Πομπηΐου τῷ Σερουϊλίῳ δώσειν ἔφησεν, οὐδ' αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ Φαύστῳ, τῷ Σύλλα παιδὶ, καθωμολογημένην. Ὀλίγῳ δ' ὕστερον Καῖσαρ ἠγάγετο Καλπουρνίαν, θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέστησεν ὕπατον εἰς τὸ μέλλον, ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένου Κάτωνος

et sur-le-champ il se rendit à l'assemblée du peuple. Là, ayant à ses côtés Crassus et Pompée, il leur demanda à haute voix s'ils approuvaient les lois qu'il venait de proposer. Sur leur réponse affirmative, il les exhorta à le soutenir contre ceux qui, pour les lui faire retirer, le menaçaient de leurs épées. Ils le lui promirent tous deux; et Pompée ajouta qu'il opposerait aux épées l'épée et le bouclier. Cette parole déplut aux sénateurs et aux nobles, qui la trouvèrent peu convenable à sa dignité personnelle, aux égards qu'il devait au sénat, et digne tout au plus d'un jeune homme emporté; mais elle le rendit très-agréable au peuple. César, qui voulait s'assurer de plus en plus la puissance de Pompée, lui donna en mariage sa fille Julia, déjà fiancée à Servilius Cépion, auquel il promit la fille de Pompée, qui elle-même n'était pas libre, ayant été déjà promise à Faustus, fils de Sylla. Peu de temps après il épousa Calpurnie, fille de Pison, et fit désigner celui-ci consul pour l'année suivante. Caton ne cessait

τῆς βουλῆς,	du sénat,
ἐξεπήδησε πρὸς αὐτόν·	s'élança vers lui :
καὶ περιστησάμενος	et ayant mis-autour *de lui*
ἔνθεν μὲν Κράσσον,	d'un côté Crassus,
ἔνθεν δὲ Πομπήϊον,	et de l'autre Pompée,
ἠρώτησεν	il *leur* demanda
εἰ ἐπαινοῖεν τοὺς νόμους.	s'ils approuvaient ses lois.
Φασκόντων δὲ ἐπαινεῖν,	Et *eux* répétan. *les* approuver,
παρεκάλει βοηθεῖν	il *les* engageait à *les* soutenir
πρὸς τοὺς ἀπειλοῦντας	contre ceux qui menaçaient
ἀνίστασθαι μετὰ ξιφῶν.	de *s'y* opposer avec l'épée.
Ἐκεῖνοι δὲ ὑπισχνοῦντο·	Et ceux-ci promettaient *de le faire :*
Πομπήϊος δὲ καὶ προσεπεῖπεν	et Pompée même ajouta
ὡς ἀφίξοιτο κομίζων	qu'il viendrait apportant
καὶ θυρεὸν μετὰ τοῦ ξίφους	le bouclier aussi avec l'épée
πρὸς τὰ ξίφη.	contre les épées.
Ἐπὶ τούτῳ μὲν	Pour cela certes
ἠνίασε τοὺς ἀριστοκρατικούς,	il chagrina les nobles,
ἀκούσαντας φωνὴν	qui avaient entendu cette parole
οὐκ ἀξίαν τῆς αἰδοῦς περὶ αὐτὸν	non digne du respect de lui-même
οὐδὲ πρέπουσαν	ni convenable
τῇ εὐλαβείᾳ πρὸς τὴν σύγκλητον,	à la déférence *due* au sénat,
ἀλλὰ μανικὴν καὶ μειρακιώδη·	mais furieuse et de-jeune-homme :
ὁ δὲ δῆμος ἥσθη.	mais le peuple *en* fut charmé.
Καῖσαρ δὲ ἐπιδραττόμενος	Or César s'attachant
ἔτι μειζόνως	encore plus fortement
τῆς δυνάμεως Πομπηΐου	à la puissance de Pompée
(Ἰουλία γὰρ θυγάτηρ αὐτῷ	(car Julie fille à lui
ἦν ἐγγεγυημένη	était promise
Σερουϊλίῳ Καιπίωνι),	à Servilius Cépion),
ἐνεγύησε ταύτην Πομπηΐῳ·	fiança celle-ci à Pompée :
ἔφησε δὲ δώσειν τῷ Σερουϊλίῳ	mais il dit devoir donner à Servilius
τὴν Πομπηΐου,	la *fille* de Pompée,
οὐδὲ οὖσαν αὐτὴν ἀνέγγυον,	n'étant pas elle-même non-promise,
ἀλλὰ καθωμολογημένην	mais ayant été accordée
Φαύστῳ, τῷ παιδὶ Σύλλα.	à Faustus, le fils de Sylla.
Ὀλίγῳ δὲ ὕστερον Καῖσαρ	Mais peu après César
ἠγάγετο Καλπουρνίαν,	épousa Calpurnie,
θυγατέρα Πείσωνος,	fille de Pison,
κατέστησε δὲ τὸν Πείσωνα	et institua Pison

καὶ βοῶντος οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας, καὶ διὰ γυναίων εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλους ἀντεισαγόντων. Ὁ μὲν οὖν συνάρχων τοῦ Καίσαρος, Βίϐλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευε μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσε. Πομπήϊος δὲ γήμας εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων, καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν[1], προσθεὶς τὸ Ἰλλυρικὸν, μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν οὖν ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους· ἐκείνου δ' ἀφώνου βαδίζοντος, ὁρῶν ὁ Καῖσαρ οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ

de se récrier, et de protester en plein sénat contre l'impudence avec laquelle on prostituait ainsi l'empire par des mariages ; et, en trafiquant des femmes, on se donnait mutuellement les gouvernements des provinces, les commandements des armées et les premières charges de la république. Bibulus, le collègue de César, voyant l'inutilité des oppositions qu'il faisait à ces lois, ayant même souvent couru le risque, ainsi que Caton, d'être tué sur la place publique, passa le reste de son consulat renfermé dans sa maison. Pompée, aussitôt après son mariage, ayant rempli la place d'hommes armés, fit confirmer ces lois par le peuple, et décerner à César, pour cinq ans, le gouvernement des deux Gaules cisalpine et transalpine, auquel on ajouta l'Illyrie, avec quatre légions. Caton ayant voulu s'opposer à ces décrets, César le fit arrêter et conduire en prison, dans la pensée que Caton en appellerait aux tribuns ; mais il s'y laissa mener sans rien dire ; et César voyant non-seulement les principaux citoyens révoltés de cette indignité, mais le peuple lui-même, par

ὕπατον εἰς τὸ μέλλον.	consul pour l'*année* à-venir.
Ἐνταῦθα δὴ Κάτωνος	Alors certes Caton
καὶ μαρτυρομένου σφόδρα	et protestant vivement
καὶ βοῶντος οὐκ εἶναι ἀνεκτὸν,	et criant *la chose* n'être pas tolérable,
τῆς ἡγεμονίας	l'empire
διαμαστροπευομένης γάμοις,	étant prostitué par des mariages,
καὶ ἀντεισαγόντων	et *des citoyens se* poussant
ἀλλήλους	les uns les autres
διὰ γυναίων εἰς ἐπαρχίας	par des femmes aux gouvernements
καὶ στρατεύματα καὶ δυνάμεις.	et aux armées et aux forces *militaires*.
Βίβλος μὲν οὖν,	Bibulus donc,
ὁ συνάρχων τοῦ Καίσαρος,	le collègue de César,
ἐπεὶ κωλύων τοὺς νόμους	comme s'opposant aux lois
ἐπέραινεν οὐδὲν,	il *n'*avançait à rien,
ἀλλὰ πολλάκις ἐκινδύνευε	mais *que* souvent il courait risque
μετὰ Κάτωνος	avec Caton
ἀποθανεῖν ἐπὶ τῆς ἀγορᾶς,	de mourir sur la place-publique,
διετέλεσε τὸν χρόνον τῆς ἀρχῆς	passa tout le temps de sa charge
ἐγκλεισάμενος οἴκοι.	s'étant renfermé à la maison.
Πομπήϊος δὲ γήμας	Mais Pompée s'étant marié
εὐθὺς ἐνέπλησεν ὅπλων	aussitôt remplit d'armes
τὴν ἀγορὰν,	la place-publique,
καὶ συνεπεκύρου τοὺς νόμους	et il faisait-sanctionner les lois
τῷ δήμῳ·	par le peuple,
Καίσαρι δὲ	puis *décerner* à César
τὴν Κελτικὴν (τὴν) ἐντὸς Ἄλπεων	la Gaule *d'*en-deçà des Alpes
καὶ τὴν ἐκτὸς ἅπασαν,	et celle *d'*au-delà toute-entière,
προσθεὶς τὸ Ἰλλυρικὸν,	ayant ajouté l'Illyrie,
μετὰ τεσσάρων ταγμάτων	avec quatre légions
εἰς πενταετίαν.	pour l'espace-de-cinq-ans.
Ὁ μὲν οὖν Καῖσαρ	Cependant César
ἀπῆγεν εἰς φυλακὴν	fit conduire en prison
Κάτωνα ἐπιχειρήσαντα	Caton qui s'était efforcé
ἀντιλέγειν τούτοις,	de contredire ces *lois*,
οἰόμενος αὐτὸν	pensant celui-ci
ἐπικαλέσεσθαι τοὺς δημάρχους·	devoir en-appeler aux tribuns :
ἐκείνου δὲ βαδίζοντος ἀφώνου,	mais celui-ci marchant silencieux,
ὁ Καῖσαρ ὁρῶν οὐ μόνον	César voyant non-seulement
τοὺς κρατίστους δυσφοροῦντας,	les nobles mécontents,
ἀλλὰ καὶ τὸ δημοτικὸν	mais aussi le populaire

κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. Τῶν δ' ἄλλων συγκλητικῶν ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βουλήν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. Εἰπόντος δὲ Κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο· «Τί οὖν, ἔφη ὁ Καῖσαρ, οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς;» καὶ ὁ Κονσίδιος εἶπεν· «Ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας· ὁ γὰρ ἔτι λειπόμενος βίος οὐ πολλῆς, ὀλίγος ὤν, δεῖται προνοίας.» Αἴσχιστον δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν, ἐν τῇ Καίσαρος ὑπατείᾳ δήμαρχον αἱρεθῆναι Κλώδιον. Ἡρέθη δ' ἐπὶ τῇ Κικέρωνος καταλύσει· καὶ Καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατείαν ἢ καταστασιάσαι Κικέρωνα μετὰ Κλωδίου καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

XV. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. Ὁ δὲ τῶν πολέμων οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν στρα-

respect pour la vertu de Caton, le suivre dans un morne silence, fit prier sous main un des tribuns d'enlever Caton à ses licteurs. Après un tel acte de violence, très-peu de sénateurs l'accompagnèrent au sénat; la plupart, offensés de sa conduite, se retirèrent. Considius, un des plus âgés de ceux qui s'y étaient rendus, lui dit que les sénateurs ne s'assemblaient pas, parce qu'ils avaient craint ses armes et ses soldats : « Pourquoi donc, reprit César, cette même crainte ne « vous fait-elle pas rester chez vous? »—« Ma vieillesse, repartit Con- « sidius, m'empêche d'avoir peur; le peu de vie qui me reste n'exige « pas tant de précaution. » Mais de tous les actes de son consulat, aucun ne lui fit plus de tort que d'avoir fait nommer Clodius tribun du peuple. Cette élection avait pour motif la ruine de Cicéron; et César ne partit pour son gouvernement qu'après l'avoir brouillé avec Clodius et l'avoir fait bannir de l'Italie.

XV. Tels furent, dit-on, les actes de sa vie qui précédèrent son commandement dans les Gaules. Les guerres qu'il fit depuis.

αἰδοῖ τῆς ἀρετῆς Κάτωνος
ἑπόμενον σιωπῇ
καὶ μετὰ κατηφείας,
ἐδεήθη αὐτὸς κρύφα
ἑνὸς τῶν δημάρχων
ἀφελέσθαι τὸν Κάτωνα.
Παντάπασι δὲ ὀλίγοι
τῶν ἄλλων συγκλητικῶν
συνῄεσαν αὐτῷ εἰς βουλήν,
οἱ δὲ λοιποὶ δυσχεραίνοντες
ἦσαν ἐκποδών.
Κονσιδίου δὲ
τινὸς τῶν σφόδρα γερόντων
εἰπόντος, ὡς οὐ συνέρχοιντο
φοβούμενοι τὰ ὅπλα
καὶ τοὺς στρατιώτας·
« Τί οὖν, ἔφη ὁ Καῖσαρ,
καὶ σὺ οὐκ οἰκουρεῖς
δεδιὼς ταῦτα; »
Καὶ ὁ Κονσίδιος εἶπεν·
« Ὅτι τὸ γῆρας
ποιεῖ με μὴ φοβεῖσθαι·
ὁ γὰρ βίος λειπόμενος ἔτι,
ὢν ὀλίγος, οὐ δεῖται
πολλῆς προνοίας. »
Τῶν δὲ πολιτευμάτων τότε
ἔδοξεν αἴσχιστον,
Κλώδιον αἱρεθῆναι δήμαρχον
ἐν τῇ ὑπατείᾳ Καίσαρος.
Ἡρέθη δὲ ἐπὶ τῇ καταλύσει
Κικέρωνος· καὶ Καῖσαρ
οὐκ ἐξῆλθεν ἐπὶ τὴν στρατείαν
πρότερον ἢ καταστασιάσαι
Κικέρωνα μετὰ Κλωδίου
καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

XV. Τοιαῦτα μὲν οὖν λέγεται
γενέσθαι τὰ
πρὸ τῶν Γαλατικῶν.
Ὁ δὲ χρόνος τῶν πολέμων
οὓς ἐπολέμησε μετὰ ταῦτα,

par révérence pour la vertu de Caton
suivant en-silence
et avec abattement,
pria lui-même en-secret
un des tribuns
d'enlever Caton.
Or tout-à-fait peu
des autres sénateurs
allaient-avec lui au sénat,
mais le reste indigné
se tenait à-l'écart.
Et Considius
un des très-vieux
ayant dit qu'ils ne s'assemblaient pas
craignant les armes
et les soldats :
« Pourquoi donc, dit César,
toi aussi ne gardes-tu-pas-la-maison
craignant ces *choses?* »
Et Considius dit :
« Parce que la vieillesse
fait moi ne pas craindre :
car la vie qui *me* reste encore,
étant courte, n'a-pas-besoin
de beaucoup de prévoyance. »
Mais des mesures-politiques *d'*alors
celle-ci parut la plus honteuse,
Clodius avoir été élu tribun
dans le consulat de César.
Or il fut élu pour la perte
de Cicéron : et César
ne partit pas pour son expédition
avant que d'avoir brouillé
Cicéron avec Clodius
et de *l'*avoir chassé de l'Italie.

XV. Telles donc sont dites
avoir été les *affaires*
avant celles de-Gaule.
Mais l'époque des guerres
que *César* guerroya après ces *choses*

τειῶν αἷς ἡμερώσατο τὴν Κελτικὴν, χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν ὁδὸν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρατηλάτην ἀπέδειξεν αὐτόν· ἀλλ' εἴτε Φαβίους καὶ Σκιπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν, ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ Σύλλαν καὶ Μάριον, ἀμφοτέρους τε Λευκούλλους, ἢ καὶ Πομπήϊον αὐτὸν, οὗ κλέος ὑπουράνιον ἤνθει [τότε] παντοίας περὶ πόλεμον ἀρετῆς[1], παραβάλοι τις, αἱ Καίσαρος ὑπερβάλλουσι πράξεις, τὸν μὲν χαλεπότητι τόπων ἐν οἷς ἐπολέμησε, τὸν δὲ μεγέθει χώρας ἣν προσεκτήσατο, τὸν δὲ πλήθει καὶ βίᾳ πολεμίων οὓς ἐνίκησε, τὸν δ' ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν ἃ καθωμάλισε[2], τὸν δ' ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους, πάντας δὲ τῷ πλείστας μεμαχῆσθαι μάχας καὶ πλείστους ἀνῃρηκέναι

ces expéditions fameuses, dans lesquelles il soumit les Gaules, lui ouvrirent une route toute différente, et commencèrent en quelque sorte pour lui une seconde vie; c'est dans cette nouvelle carrière qu'il se montre à nous aussi grand homme de guerre, aussi habile capitaine qu'aucun des généraux qui se sont fait le plus admirer et ont acquis le plus de gloire par leurs exploits. Soit qu'on lui compare les Fabius, les Métellus, les Scipions, ou les autres généraux ses contemporains, ou ceux qui ont vécu peu de temps avant lui, tels que les Sylla, les Marius, les Lucullus, et Pompée lui-même, dont la gloire, élevée jusqu'aux cieux, lui faisait comme une auréole de tous les mérites guerriers, on reconnaîtra que les exploits de César le mettent au-dessus de tous ces grands capitaines. Il a surpassé l'un par la difficulté des lieux où il a fait la guerre; l'autre, par l'étendue des pays qu'il a subjugués; celui-ci, par le nombre et la force des ennemis qu'il a vaincus; celui-là, par la férocité et la perfidie des nations qu'il a soumises; l'un, par sa douceur et sa clémence envers les prisonniers; un autre, par les présents et les bienfaits dont il a comblé ses troupes; enfin, il a été supérieur à tous par le nombre de batailles qu'il a livrées, et par la multitude incroyable d'ennemis qu'il a

καὶ τῶν στρατειῶν	et des expéditions
αἷς ἡμερώσατο τὴν Κελτικὴν,	par lesquelles il soumit la Gaule,
ὥσπερ αὐτοῦ λαβόντος	comme lui ayant pris
ἄλλην ἀρχὴν	un autre commencement
καὶ καταστάντος	et étant entré
εἴς τινα ἑτέραν ὁδὸν βίου	dans une certaine autre route de vie
καὶ πραγμάτων καινῶν,	et d'affaires nouvelles,
ἀπέδειξεν αὐτὸν	montra lui
πολεμιστὴν καὶ στρατηλάτην	guerrier et chef-d'armées [*aucun*]
ἀπολείποντα οὐκ ἔστιν ὅτου	*n'*étant-inférieur il n'est pas à qui (*à*
τῶν μάλιστα τεθαυμασμένων	de ceux le plus admirés
ἐπὶ ἡγεμονίᾳ	pour le commandement
καὶ γεγονότων μεγίστων·	et ayant été les plus grands
ἀλλὰ εἴτε τις	au contraire si quelqu'un
παραβάλοι	*lui* comparait
Φαβίους καὶ Σκιπίωνας	les Fabius et les Scipions
καὶ Μετέλλους καὶ τοὺς κατὰ αὐτὸν,	et les Métellus et ceux du temps de lui,
ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ	ou un peu avant lui
Σύλλαν καὶ Μάριον,	Sylla et Marius,
ἀμφοτέρους τε Λευκούλλους,	et les deux Lucullus,
ἢ καὶ Πομπήϊον αὐτὸν,	ou aussi Pompée lui-même,
οὗ κλέος ὑπουράνιον	dont la gloire élevée-jusqu'au-ciel
ἤνθει [τότε]	florissait [alors]
παντοίας ἀρετῆς περὶ πόλεμον,	de toute vertu concernant la guerre,
αἱ πράξεις Καίσαρος ὑπερβάλλουσι	les actions de César surpassent
τὸν μὲν χαλεπότητι τόπων	l'un par la difficulté des lieux
ἐν οἷς ἐπολέμησε,	dans lesquels il fit-la-guerre,
τὸν δὲ μεγέθει χώρας	l'autre par l'étendue du pays
ἣν προσεκτήσατο,	qu'il ajouta-par-conquête *à l'empire*,
τὸν δὲ πλήθει καὶ βίᾳ	l'un par le nombre et la force
πολεμίων οὓς ἐνίκησε,	des ennemis qu'il vainquit;
τὸν δὲ ἀτοπίαις καὶ ἀπιστίαις	l'autre par les étrangetés et perfidies
ἠθῶν ἃ καθωμάλισε,	des mœurs qu'il poliça;
τὸν δὲ ἐπιεικείᾳ καὶ πρᾳότητι	l'un par la clémence et la douceur
πρὸς τοὺς ἁλισκομένους,	envers ceux qui étaient pris,
τὸν δὲ δώροις καὶ χάρισι	l'autre par les dons et les faveurs
πρὸς τοὺς συστρατευομένους,	à ceux faisant-campagne-avec *lui*,
πάντας δὲ τῷ μεμαχῆσθαι	et tous par le avoir combattu
πλείστας μάχας	le plus de combats
καὶ ἀνῃρηκέναι πλείστους	et avoir détruit le plus

τῶν ἀντιταχθέντων. Ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ Γαλατίαν, πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δ' ἐχειρώσατο τριακόσια· μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις, ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν, ἄλλας δὲ τοσαύτας ἐζώγρησεν.

XVI. Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ πρὸς αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας, ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. Οἷος ἦν τοῦτο μὲν Ἀκίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ, νεὼς πολεμίας ἐπιβεβηκὼς, τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δ' ἀριστερᾷ τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους ἀπέτρεψε πάντας, καὶ τοῦ σκάφους ἐπεκράτησε· τοῦτο δὲ Κάσσιος Σκεύας, ὃς ἐν τῇ περὶ Δυῤῥάχιον[1] μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δ' ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος[2], τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδε-

fait périr. En moins de dix ans que dura sa guerre dans les Gaules, il prit d'assaut plus de huit cents villes, soumit trois cents nations différentes, et combattit en plusieurs batailles rangées contre trois millions d'ennemis, dont il tua un million et fit autant de prisonniers.

καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρις οὗ τὴν δευτέραν ὑπατείαν μέτεισι,) καὶ Κικέρων ὁ ῥήτωρ, ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων, ἐμάλαττε τὸν Πομπήϊον· ὁ δὲ τἄλλα συγχωρῶν, τοὺς στρατιώτας ἀφῄρει. Καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους, συνενδόντας, ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. Πομπηΐου δὲ καμπτομένου καὶ διδόντος, οἱ περὶ Λέντλον οὐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα προπηλακίσαντες ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι, καὶ δι' ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς· οὕτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῄεσαν.

avec deux légions, jusqu'à ce qu'il eût obtenu un second consulat. L'orateur Cicéron, qui venait d'arriver de son gouvernement de Cilicie, et qui cherchait à rapprocher les deux partis, faisait tous ses efforts pour adoucir Pompée. Celui-ci, en consentant aux autres demandes de César, refusait de lui laisser les légions. Cicéron avait persuadé aux amis de César de l'engager à se contenter de ses deux gouvernements avec six mille hommes de troupes, et de faire sur ce pied l'accommodement. Pompée se rendait à cette proposition ; mais le consul Lentulus ne voulut jamais y consentir ; il traita indignement Antoine et Curion et les chassa honteusement du sénat. C'était donner à César le plus spécieux de tous les prétextes ; et il s'en servit avec succès pour irriter ses soldats, en leur montrant des hommes d'un rang distingué, des magistrats romains obligés de s'enfuir en habits d'esclaves, dans des voitures de louage ; car la crainte d'être reconnus les avait fait sortir de Rome sous ce déguisement.

καὶ τὸ Ἰλλυρικὸν	et l'Illyrie
δοθῆναι αὐτῷ	être donnés à lui
μετὰ δυεῖν ταγμάτων,	avec deux légions,
μέχρις οὗ μέτεισι	jusqu'à ce qu'il briguât
τὴν δευτέραν ὑπατείαν),	un second consulat),
καὶ Κικέρων ὁ ῥήτωρ,	Cicéron l'orateur
ἄρτι παρὼν	depuis-peu présent
ἐκ Κιλικίας	*de retour* de Cilicie
καὶ πράττων διαλλαγάς,	et travaillant à une réconciliation,
ἐμάλαττε τὸν Πομπήϊον·	adoucit Pompée :
ὁ δὲ συγχωρῶν τὰ ἄλλα,	mais celui-ci accordant le reste,
ἀφῄρει τοὺς στρατιώτας.	ôtait *à César* les soldats.
Καὶ Κικέρων μὲν	Et Cicéron certes
ἔπειθε τοὺς φίλους Καίσαρος,	persuadait aux amis de César,
συνενδόντας,	*eux* ayant cédé,
ποιεῖσθαι τὰς διαλύσεις	de faire l'accommodement
ἐπὶ ταῖς ἐπαρχίαις	moyennant les provinces
εἰρημέναις	dites *plus haut*
καὶ ἑξακισχιλίοις στρατιώταις	et six-mille soldats
μόνοις.	seuls.
Πομπηΐου δὲ καμπτομένου	Et Pompée se laissant-fléchir
καὶ διδόντος,	et accordant *cela*,
οἱ περὶ Λέντλον ὑπατεύοντες	Lentulus qui était-consul
οὐκ εἴων, ἀλλὰ καὶ	ne *le* permit pas, mais même
ἐξήλασαν ἀτίμως τῆς βουλῆς	il chassa ignominieusement du sénat
Ἀντώνιον καὶ Κουρίωνα	Antoine et Curion
προπηλακίσαντες,	ayant insulté *eux*,
μηχανησάμενοι αὐτοὶ Καίσαρι	ayant préparé lui-même à César
τὴν εὐπρεπεστάτην	le plus spécieux
τῶν προφάσεων	des prétextes,
καὶ διὰ ἧς μάλιστα	et par lequel surtout
παρώξυνε τοὺς στρατιώτας,	il anima les soldats,
ἐπιδεικνύμενος ἄνδρας	*leur* montrant des hommes
ἐλλογίμους καὶ ἄρχοντας	illustres et revêtus-de-dignités
πεφευγότας	qui avaient fui
ἐπὶ ζευγῶν μισθίων	sur des chariots de-louage
ἐν ἐσθῆσιν οἰκετικαῖς·	dans des habits d'-esclaves :
σκευάσαντες γὰρ ἑαυτοὺς οὕτως	car *s*'étant habillés eux-mêmes ainsi
ὑπεξῆεσαν ἀπὸ Ῥώμης	ils étaient sortis-furtivement de Rome
διὰ φόβον.	par crainte.

XXXII. Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. Ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης καὶ τάχει καιροῦ καταληπτέαν οὖσαν (ἐκπλήξειν γὰρ ἀπιστούμενος ῥᾷον ἢ βιάσεσθαι μετὰ παρασκευῆς ἐπελθὼν), τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων κατασχεῖν Ἀρίμινον[1], τῆς Κελτικῆς μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φόνου καὶ ταραχῆς· Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. Αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ, μονομάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος. Μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα, καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα, καὶ συγγενόμενος βραχέα τοῖς παρακεκλημένοις ἐπὶ

XXXII. César n'avait auprès de lui que cinq mille hommes de pied et trois cents chevaux. Il avait laissé au delà des Alpes le reste de son armée, que ses lieutenants devaient bientôt lui amener. Il vit que le commencement de son entreprise et la première attaque qu'il projetait n'avaient pas besoin d'un grand nombre de troupes; qu'il devait plutôt étonner ses ennemis par sa hardiesse et sa célérité, et qu'il les effraierait plus facilement en tombant sur eux lorsqu'ils s'y attendraient le moins, qu'il ne les forcerait en venant avec de grands préparatifs. Il ordonne donc à ses capitaines et à ses chefs de cohortes de ne prendre que leurs épées, sans aucune autre arme, de s'emparer d'Ariminum, ville considérable de la Gaule, mais d'y causer le moins de tumulte et d'y verser le moins de sang qu'ils pourraient. Après avoir remis à Hortensius la conduite de son armée, il passa le jour en public à voir combattre des gladiateurs; et un peu avant la nuit il prit un bain, entra ensuite dans la salle à manger et resta

XXXII. Οὐ πλείους μὲν οὖν
τριακοσίων ἱππέων
καὶ πεντακισχιλίων ὁπλιτῶν
ἦσαν περὶ αὐτόν·
οἱ γὰρ πεμφθέντες ἔμελλον
ἄξειν τὸ ἄλλο στράτευμα
ἀπολελειμμένον πέραν Ἄλπεων.
Ὁρῶν δὲ τὴν ἀρχὴν
πραγμάτων ὧν ἐνίστατο,
καὶ τὴν ἔφοδον
οὐ δεομένην
πολυχειρίας
ἐν τῷ παρόντι
μᾶλλον ἢ οὖσαν καταληπτέαν
θάμβει τε τόλμης
καὶ τάχει καιροῦ
(ἐκπλήξειν γὰρ ῥᾷον
ἀπιστούμενος
ἢ βιάσεσθαι
ἐπελθὼν μετὰ παρασκευῆς),
ἐκέλευσε μὲν
τοὺς ἡγεμόνας καὶ ταξιάρχους
ἔχοντας μαχαίρας
ἄνευ τῶν ἄλλων ὅπλων
κατασχεῖν Ἀρίμινον,
μεγάλην πόλιν τῆς Κελτικῆς,
φεισαμένους φόβου καὶ ταραχῆς,
μάλιστα ὡς ἐνδέχεται·
παρέδωκε δὲ τὴν δύναμιν
Ὁρτησίῳ.
Αὐτὸς δὲ διῆγε μὲν
τὴν ἡμέραν ἐν φανερῷ,
ἐφεστὼς
μονομάχοις γυμναζομένοις
καὶ θεώμενος.
Μικρὸν δὲ πρὸ ἑσπέρας
θεραπεύσας τὸ σῶμα,
καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα,
καὶ συγγενόμενος βραχέα
τοῖς παρακεκλημένοις

XXXII. Or *des hommes* non plus
que trois-cents cavaliers [nombreux
et cinq-mille hoplites
étaient autour de lui :
car ceux ayant été envoyés devaient
amener le reste de l'armée
laissée au-delà des Alpes.
Mais voyant le commencement
des affaires qu'il entreprenait,
et la première-attaque
n'ayant pas-besoin
de beaucoup-de-mains
dans le *moment* présent
plutôt que étant à-saisir
et par la terreur de l'audace
et par la promptitude de l'occasion
(car devoir déconcerter plus aisément
n'-étant-pas-attendu
que devoir vaincre-de-force
étant survenu avec des préparatifs),
il ordonna d'une part
les capitaines et chefs-de-cohortes
ayant leurs épées
sans les autres armes
occuper Ariminum,
grande ville de la Gaule,
épargnant la terreur et le tumulte,
le plus comme il est-possible;
d'autre part il remit l'armée
à Hortensius.
Mais lui-même passa
le jour à découvert,
assistant
à des gladiateurs qui s'exerçaient
et *les* regardant.
Mais peu avant le soir,
ayant soigné son corps,
et étant venu dans la salle-à-manger,
et étant resté un *temps* court
avec ceux invités

τὸ δεῖπνον, ἤδη συσκοτάζοντος, ἐξανέστη, καὶ τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον, ὀλίγοις δὲ τῶν φίλων προείρητο μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δ' ἄλλῃ διώκειν. Αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς, ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν διορίζοντα τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν (Ῥουβίκων καλεῖται), καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ, καὶ περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας, πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε, σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων, καὶ τροπὰς ἔσχεν αὐτῷ τό τε βούλευμα πλείστας, πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίνιος, συνδιηπόρησεν, ἀναλογιζόμενος ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις, ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι. Τέλος δὲ μετὰ θυμοῦ

quelque temps avec ceux qu'il avait invités à souper. Dès que la nuit fut venue, il se leva de table, engagea ses convives à faire bonne chère et les pria de l'attendre, en les assurant qu'il reviendrait bientôt. Il avait prévenu quelques-uns de ses amis de le suivre, non pas tous ensemble, mais chacun par un chemin différent; et, montant lui-même dans un chariot de louage, il prit d'abord une autre route que celle qu'il voulait tenir, et tourna bientôt vers Ariminum. Lorsqu'il fut sur les bords du Rubicon, fleuve qui sépare la Gaule cisalpine du reste de l'Italie, frappé tout à coup des réflexions que lui inspirait la crainte du danger et qui lui montrèrent de plus près la grandeur et l'audace de son entreprise, il s'arrêta; et, fixé longtemps à la même place, il pesa, dans un profond silence, les différentes résolutions qui s'offraient à son esprit, balança tour à tour les partis contraires et changea plusieurs fois d'avis. Il en conféra longtemps avec ceux de ses amis qui l'accompagnaient, parmi lesquels était Asinius Pollion. Il se représenta tous les maux dont le passage de ce fleuve allait être suivi et tous les jugements qu'on porterait de lui dans la postérité. Enfin, n'écoutant plus que sa passion et rejetant

ἐπὶ τὸ δεῖπνον,	à souper,
συσκοτάζοντος ἤδη,	faisant-nuit déjà,
ἐξανίστη,	il se leva,
καὶ φιλοφρονηθεὶς μὲν τοὺς ἄλλους	et ayant traité-avec-bonté les autres,
καὶ κελεύσας περιμένειν αὐτὸν	et *les* ayant engagés à attendre lui
ὡς ἐπανελευσόμενον,	comme devant revenir,
προείρητο δὲ	mais il avait été dit-d'avance
ὀλίγοις τῶν φίλων	à quelques-uns des amis
μὴ διώκειν πάντας	de ne-pas *le* suivre tous
κατὰ τὸ αὐτὸ,	dans le même *lieu*,
ἄλλον δὲ ἄλλῃ.	mais l'un d'un *côté, l'autre de l'autre*.
Αὐτὸς δὲ ἐπιβὰς	Et lui-même étant monté
ἑνὸς τῶν ζευγῶν μισθίων,	sur un des chariots de-louage,
ἤλαυνε πρῶτον ἑτέραν τινὰ ὁδὸν,	s'avança d'abord par une autre route,
εἶτα ἐπιστρέψας πρὸς τὸ Ἀρίμινον,	puis ayant tourné vers Ariminum,
ὡς ἦλθεν ἐπὶ τὸν ποταμὸν	comme il arriva vers le fleuve
(καλεῖται Ῥουβίκων)	(il s'appelle Rubicon)
διορίζοντα	qui sépare
τὴν Γαλατίαν (τὴν) ἐντὸς Ἄλπεων	la Gaule en-deçà des Alpes
ἀπὸ τῆς ἄλλης Ἰταλίας,	du reste de l'Italie,
καὶ λογισμὸς εἰσῄει αὐτὸν	et la réflexion s'empara de lui
ἐγγίζοντα μᾶλλον τῷ δεινῷ,	qui approchait d'avantage du danger
καὶ ἔσχετο δρόμου	et l'arrêta de sa course
περιφερόμενον τῷ μεγέθει	agité par la grandeur
τῶν τολμωμένων·	des *choses* osées;
καὶ ἐπιστήσας τὴν πορείαν,	et ayant arrêté sa marche,
αὐτὸς μὲν διήνεγκε	lui-même il balança
πολλὰ ἐν ἑαυτῷ,	beaucoup *de choses* en lui-même,
μεταλαμβάνων σιγῇ	portant en-silence
τὴν γνώμην ἐπὶ ἀμφότερα,	sa pensée de deux *côtés*,
καὶ τό τε βούλευμα αὐτῷ	et la résolution à lui
ἔσχε πλείστας τροπὰς,	fit plusieurs tours;
συνδιηπόρησε δὲ καὶ πολλὰ	et il hésita aussi beaucoup
τοῖς παροῦσι τῶν φίλων,	avec ceux présents de ses amis,
ὧν ἦν καὶ Πολλίων Ἀσίνιος,	desquels était aussi Pollion Asinius,
ἀναλογιζόμενος ἡλίκων κακῶν	réfléchissant quels-grands maux
ἡ διάβασις ἄρξει	son passage commencera
πᾶσιν ἀνθρώποις,	pour tous les hommes,
ὅσον τε λόγον αὐτῆς	et quelle renommée de celui-ci
ἀπολείψουσι τοῖς αὖθις.	ils laisseront à ceux *d'*après.

τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών· «Ἀνεῤῥίφθω κύβος·» ὥρμησε πρὸς τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος, εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον, καὶ κατέσχε.

XXXIII. Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν, καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει διαφοιτᾷν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας φυγῇ διαφέρεσθαι δι' ἀλλήλων· τὴν δὲ Ῥώμην, ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην, φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτ' ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν

tous les conseils de la raison pour se précipiter aveuglément dans l'avenir, il prononça ce mot si ordinaire à ceux qui se livrent à des aventures difficiles et hasardeuses : « Le sort en est jeté ! » et, passant le Rubicon, il marcha avec tant de diligence qu'il arriva le lendemain à Ariminum avant le jour et s'empara de la ville.

XXXIII. La prise d'Ariminum ouvrit, pour ainsi dire, toutes les portes de la guerre et sur terre et sur mer ; et César, en franchissant les limites de son gouvernement, parut avoir transgressé toutes les lois de Rome. Ce n'étaient pas seulement, comme dans les autres guerres, des hommes et des femmes qu'on voyait courir éperdus dans toute l'Italie ; les villes elles-mêmes semblaient s'être arrachées de leurs fondements pour prendre la fuite et se transporter d'un lieu dans un autre ; Rome elle-même se trouva comme inondée d'un déluge de peuples qui s'y réfugiaient de tous les environs ; et, dans une agitation, dans une tempête si violente, il n'était plus possible à aucun magistrat de la contenir par la raison ni par l'autorité ; elle

Τέλος δὲ μετά τινος θυμοῦ,	Mais enfin avec une certaine passion,
ὥσπερ ἀφεὶς ἑαυτὸν	comme s'étant débarrassé lui-même
ἐκ τοῦ λογισμοῦ	de la réflexion
πρὸς τὸ μέλλον,	relativement à l'avenir,
καὶ δὴ ὑπειπὼν	et certes ayant prononcé
τοῦτο τὸ προοίμιον	cet adage-ci
κοινὸν τοῖς ἐμβαίνουσιν	commun à ceux qui s'embarquent
εἰς τύχας ἀπόρους	dans des chances incertaines
καὶ τόλμας·	et des témérités :
« Κύβος ἀνεῤῥίφθω· »	« Que le dé soit jeté : »
ὥρμησε πρὸς τὴν διάβασιν·	il s'élança pour le passage :
καὶ χρώμενος δρόμῳ	et usant de course
ἤδη τὸ λοιπὸν,	dès-lors le reste *du temps*,
εἰσέπεσε πρὸ ἡμέρας	il arriva avant le jour
εἰς τὸ Ἀρίμινον, καὶ κατέσχεν.	à Ariminum et *l*'occupa.
XXXIII. Ἐπεὶ δὲ Ἀρίμινον	XXXIII. Mais lorsque Ariminum
κατελήφθη,	fut pris,
ὥσπερ τοῦ πολέμου	comme la guerre
ἀνεῳγμένου πλατείαις πύλαις	étant ouverte par de larges portes
ἐπὶ πᾶσαν τὴν γῆν ὁμοῦ	sur toute la terre à-la-fois
καὶ θάλασσαν,	et la mer,
καὶ τῶν νόμων τῆς πόλεως	et *comme* les lois de la république
συγκεχυμένων	étant confondues
ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας,	avec les limites de son gouvernement,
τὶς ἂν ᾠήθη	on aurait cru
οὐκ ἄνδρας καὶ γυναῖκας,	non des hommes et des femmes,
ὥσπερ ἄλλοτε,	comme les-autres-fois,
διαφοιτᾷν τῆς Ἰταλίας	courir par l'Italie
σὺν ἐκπλήξει,	avec épouvante,
ἀλλὰ τὰς πόλεις αὐτὰς	mais les villes elles-mêmes
ἀνισταμένας	se levant
διαφέρεσθαι φυγῇ	être emportées par la fuite
διὰ ἀλλήλων·	les-unes-vers-les-autres :
τὴν δὲ Ῥώμην,	et Rome,
ὥσπερ πιμπλαμένην	comme remplie
ὑπὸ ῥευμάτων,	de flots,
φυγαῖς καὶ μεταστάσεσι	par les fuites et les déplacements
τῶν δήμων (τῶν) πέριξ,	des peuples *d*'alentour,
οὖσαν οὔτε ῥᾳδίαν πεῖσαι	*n*'étant ni facile à persuader
ἄρχοντι,	pour le magistrat,

οὔτε λόγῳ καθεκτὴν ἐν πολλῷ κλύδωνι καὶ σάλῳ, μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι. Πάθη γὰρ ἀντίπαλα καὶ βίαια κατεῖχε κινήματα πάντα τόπον. Οὐδὲ γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπῖπτον ἐν μεγάλῃ πόλει, καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος δι' ἐρίδων ἦν· αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάραττε, τοῖς μὲν, ὡς ηὔξησε Καίσαρα καθ' ἑαυτοῦ, καὶ τῆς ἡγεμονίας εὐθύνας ὑπέχοντα, τῶν δ', ὅτι παρείκοντα καὶ προτεινόμενον εὐγνώμονας διαλύσεις ἐφῆκε τοῖς περὶ Λέντλον ὑβρίσαι, κατηγορούντων. Φαώνιος δ' αὐτὸν ἐκέλευε τῷ ποδὶ τύπτειν τὴν γῆν· ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον, οὐδὲν εἴα πολυπραγμονεῖν οὐδὲ φροντίζειν ἐκείνους τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ, ὅταν ἐπίῃ, κρούσας τὸ ἔδαφος

fut sur le point de se détruire par ses propres mains. Ce n'étaient partout que des passions contraires et des mouvements convulsifs; ceux mêmes qui applaudissaient à l'entreprise de César ne pouvaient se tenir tranquilles : comme ils rencontraient à chaque pas des gens qui en étaient affligés et inquiets (ce qui arrive toujours dans une grande ville), ils les insultaient avec fierté et les menaçaient de l'avenir. Pompée, déjà assez étonné par lui-même, était encore plus troublé par les propos qu'on lui tenait de toutes parts : il était puni avec justice, lui disaient les uns, d'avoir agrandi César contre lui-même et contre la république; les autres l'accusaient d'avoir rejeté les conditions raisonnables auxquelles César avait consenti de se réduire, et de l'avoir livré aux outrages de Lentulus. Favonius même osa lui dire de frapper enfin du pied la terre, parce qu'un jour Pompée, en parlant de lui-même en plein sénat dans les termes les plus avantageux, avait déclaré aux sénateurs qu'ils ne devaient s'embarrasser de rien, ni s'inquiéter des préparatifs de la guerre; que, dès

οὔτε καθεκτὴν	ni susceptible-d'être-contenue
λόγῳ	par la raison
ἐν πολλῷ κλύδωνι	dans *cette* grande agitation
καὶ σάλῳ,	et tempête,
ἀπολιπεῖν μικρὸν	avoir manqué de peu
ἀνατετράφθαι αὐτὴν	être renversée elle-même
ὑπὸ αὑτῆς.	par elle-même.
Πάθη γὰρ ἀντίπαλα	Car des passions contraires
καὶ βίαια κινήματα	et de violents mouvements
κατεῖχε πάντα τόπον.	tenaient tout lieu.
Τὸ χαῖρον γὰρ	Car la *partie* joyeuse
οὐδὲ ἦγεν ἡσυχίαν,	ne gardait-même-pas la paix,
ἀλλὰ συμπῖπτον κατὰ πολλὰ	mais rencontrant fréquemment
ἐν μεγάλῃ πόλει	dans cette grande ville
τῷ δεδοικότι καὶ λυπουμένῳ,	la *partie* effrayée et chagrine,
καὶ θρασυνόμενον	et se prévalant
ὑπὲρ τοῦ μέλλοντος,	de l'avenir,
ἦν διὰ ἐρίδων·	était dans les disputes :
ἄλλος τε ἐτάραττεν	et l'un troublait
ἀλλαχόθεν	d'un côté, *l'autre de l'autre*,
Πομπήϊον αὐτὸν ἐκπεπληγμένον,	Pompée lui-même déconcerté,
τοῖς μὲν,	d'abord par les uns *qui disaient*,
ὡς ηὔξησε κατὰ ἑαυτοῦ	qu'il avait agrandi contre lui-même
Καίσαρα ὑπέχοντα εὐθύνας	César ayant à rendre compte
καὶ τῆς ἡγεμονίας,	même de son commandement
τῶν δὲ κατηγορούντων	et les autres *l'*accusant
ὅτι ἐφῆκε τοῖς περὶ Λέντλον	de ce qu'il avait laissé Lentulus
ὑβρίσαι παρείκοντα	insulter *César* qui cédait
καὶ προτεινόμενον	et qui proposait
διαλύσεις εὐγνώμονας.	des accords raisonnables.
Φαώνιος δὲ ἐκέλευεν αὐτὸν	Favonius même sommait lui
τύπτειν τῷ ποδὶ τὴν γῆν·	de frapper du pied la terre :
ἐπεὶ μεγαληγορῶν ποτε	puisque se vantant un-jour
πρὸς τὴν σύγκλητον,	devant le sénat,
εἴα ἐκείνους	il *n'*avait laissé *eux* (*les sénateurs*)
πολυπραγμονεῖν οὐδὲν	s'occuper de rien
οὐδὲ φροντίζειν	ni s'inquiéter
τῆς παρασκευῆς ἐπὶ τὸν πόλεμον·	des préparatifs pour la guerre :
αὐτὸς γὰρ, ὅταν ἐπίῃ,	car lui-même, quand viendrait *César*,
κρούσας τῷ ποδὶ τὸ ἔδαφος	ayant frappé du pied le sol

τῷ ποδὶ στρατευμάτων ἐμπλήσειν τὴν Ἰταλίαν. Οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλλεν ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλ' ὑπ' ἀγγελμάτων πολλῶν καὶ ψευδῶν καὶ φόβων, ὡς ἐφεστῶτος ἤδη τοῦ πολέμου καὶ πάντα κατέχοντος, εἴξας καὶ συνεκκρουσθεὶς τῇ πάντων φορᾷ, ψηφίζεται ταραχὴν ὁρᾷν, καὶ τὴν πόλιν ἐξέλιπε, κελεύσας ἕπεσθαι τὴν γερουσίαν καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

XXXIV. Οἱ μὲν οὖν ὕπατοι μηδ' ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅ τι τύχοιεν, ὥσπερ ἀλλοτρίων, λαμβάνοντες. Εἰσὶ δ' οἳ καὶ σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον, ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογισμῶν καὶ συμπα

que César se serait mis en marche, il n'aurait qu'à frapper la terre du pied et qu'il remplirait de légions toute l'Italie. Pompée était encore supérieur à César par le nombre de ses troupes; mais il n'était pas le maître de suivre ses propres sentiments; les fausses nouvelles qu'on lui apportait, les terreurs qu'on ne cessait de lui inspirer, comme si l'ennemi eût été déjà aux portes de Rome et maître de tout, l'obligèrent enfin de céder au torrent et de se laisser entraîner à la fuite générale. Il déclara que le tumulte était dans la ville, et il l'abandonna, en ordonnant au sénat de le suivre, et intimant à tous ceux qui préféreraient à la tyrannie leur patrie et leur liberté, la défense d'y rester.

XXXIV. Les consuls quittèrent Rome, sans avoir fait les sacrifices qu'ils étaient dans l'usage d'offrir aux dieux, lorsqu'ils sortaient de la ville; la plupart des sénateurs prirent aussi la fuite, saisissant, en quelque sorte, ce qu'ils trouvaient chez eux sous leurs mains, comme s'ils l'eussent enlevé aux ennemis : il y en eut même qui, d'abord très-attachés à César, furent tellement troublés par la crainte, que,

ἐμπλήσειν στρατευμάτων	devoir remplir d'armées
τὴν Ἰταλίαν.	l'Italie.
Οὐ μὴν ἀλλὰ καὶ τότε	Toutefois même alors
ὁ Πομπήϊος ὑπερέβαλλε	Pompée surpassait
πλήθει δυνάμεως	par le nombre de ses troupes
τὴν Καίσαρος·	celles de César :
οὐδεὶς δὲ εἴασε τὸν ἄνδρα	mais personne ne laissa cet homme
χρήσασθαι τοῖς λογισμοῖς ἑαυτοῦ,	user des réflexions de lui-même,
ἀλλὰ ὑπὸ ἀγγελμάτων	mais par des nouvelles
πολλῶν καὶ ψευδῶν	nombreuses et fausses
καὶ φόβων,	et par des terreurs
ὡς ἤδη τοῦ πολέμου ἐφεστῶτος	comme déjà la guerre existant
καὶ κατέχοντος πάντα,	et occupant tout,
εἴξας καὶ συνεκκρουσθεὶς	ayant cédé et ayant été entraîné
τῇ φορᾷ πάντων,	par l'élan de tous,
ψηφίζεται ὁρᾷν ταραχὴν,	il décrète *lui* voir le tumulte,
καὶ ἐξέλιπε τὴν πόλιν,	et il abandonna la ville,
κελεύσας τὴν γερουσίαν	ayant ordonné le sénat
ἕπεσθαι, καὶ μηδένα	suivre *lui*, et personne
τῶν ᾑρημένων	de ceux ayant choisi
πρὸ τῆς τυραννίδος	de préférence à la tyrannie
τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν	la patrie et la liberté
μένειν.	*ne* rester.
XXXIV. Οἱ μὲν οὖν ὕπατοι	XXXIV. Or donc les consuls
μηδὲ θύσαντες	n'ayant pas-même fait-les-sacrifices
ἃ νόμος ἐστὶ	lesquels la loi est *de faire*
πρὸ ἐξόδου	avant la sortie
ἔφυγον· ἔφευγον δὲ καὶ	s'enfuirent : s'enfuyaient aussi
οἱ πλεῖστοι τῶν βουλευτῶν,	la plupart des sénateurs,
λαμβάνοντες ἀπὸ τῶν ἰδίων,	prenant de leurs propres *biens*,
ὥσπερ ἀλλοτρίων,	comme de *biens* étrangers,
ὅ τι τύχοιεν	ce qu'ils rencontraient
τινὰ τρόπον διὰ ἁρπαγῆς.	en quelque sorte par pillage.
Εἰσὶ δὲ καὶ οἳ	*Quelques-uns* même sont qui
ᾑρημένοι πρότερον σφόδρα	ayant choisi d'abord avec-ardeur
τὰ Καίσαρος,	le *parti* de César,
ὑπὸ θάμβους τότε	par terreur alors
ἐξέπεσον τῶν λογισμῶν	furent jetés-hors de *leurs* réflexions
καὶ συμπαρηνέχθησαν	et furent entraînés
οὐδὲν δεόμενοι	*n'en* ayant-aucun-besoin

ρηνέχθησαν οὐδὲν δεόμενοι τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. Οἰκτρότατον δὲ τὸ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐκπεσεῖν νομιζομένης. Ἀλλὰ καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄνθρωποι πατρίδα διὰ Πομπήϊον ἡγοῦντο, τὴν δὲ Ῥώμην, ὡς Καίσαρος στρατόπεδον, ἐξέλιπον. Ὅπου καὶ Λαβιηνὸς, ἀνὴρ ἐν τοῖς μάλιστα φίλος Καίσαρος, καὶ πρεσβευτὴς γεγονὼς καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς, ἀφίκετο πρὸς Πομπήϊον. Ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν ὁ Καῖσαρ· Δομιτίῳ δ' ἡγουμένῳ σπειρῶν τριάκοντα καὶ κατέχοντι Κορφίνιον [1], ἐπελθὼν παρεστρατοπέδευσεν· ὁ δ' ἀπογνοὺς τὰ καθ' αὑτὸν, ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον· καὶ λαβὼν τὸ δοθὲν, ἔπιεν ὡς τεθνηξόμενος. Μετ' ὀλίγον δὲ ἀκούσας τὸν Καίσαρα θαυμαστῇ τινι

sans aucune nécessité, ils se laissèrent emporter par le torrent des fuyards. C'était un spectacle digne de pitié que de voir, dans une si terrible tempête, cette ville abandonnée, et, semblable à un vaisseau sans pilote, flotter au hasard dans l'incertitude de son sort. Mais quelque déplorable que fût cette fuite, les Romains regardaient le camp de Pompée comme la patrie, et ils fuyaient Rome comme le camp de César. Labiénus lui-même, un des plus intimes amis de César, son lieutenant dans toute la guerre des Gaules, et qui l'avait toujours servi avec le plus grand zèle, quitta son parti et alla joindre Pompée. Cette désertion n'empêcha pas César de lui renvoyer son argent et ses équipages : il alla camper ensuite devant Corfinium, où Domitius commandait pour Pompée. Cet officier, qui désespérait de pouvoir défendre la ville, demanda du poison à un de ses esclaves, qui était médecin, et l'avala dans l'espérance de mourir promptement ; mais, ayant bientôt appris avec quelle extrême bonté César

τῷ ῥεύματι ἐκείνης τῆς φορᾶς.	par la rapidité de ce mouvement-là.
Τὸ δὲ θέαμα	Mais le spectacle
ἦν οἰκτρότατον	était très-digne-de-pitié
τῆς πόλεως, ὥσπερ νεὼς	de la ville, comme d'un vaisseau
νομιζομένης ὑπὸ κυβερνητῶν	cru par les pilotes
ἀπαγορευόντων	qui désespèrent
ἐκπεσεῖν πρὸς τὸ συντυχὸν,	devoir s'égarer à l'aventure,
τοσούτου χειμῶνος ἐπιφερομένου.	un si grand orage s'élevant.
Ἀλλὰ καίπερ τῆς μεταστάσεως	Cependant quoique le déplacement
οὔσης οὕτως οἰκτρᾶς,	étant si misérable,
οἱ ἄνθρωποι ἡγοῦντο	les hommes estimaient
τὴν μὲν φυγὴν πατρίδα	la fuite *être* la patrie
διὰ Πομπήϊον,	à cause de Pompée,
ἐξέλιπον δὲ τὴν Ῥώμην,	et ils abandonnèrent Rome,
ὡς στρατόπεδον Καίσαρος.	comme *étant* le camp de César.
Ὅπου καὶ Λαβιηνὸς,	Puisque même Labiénus,
ἀνὴρ φίλος Καίσαρος	homme ami de César
ἐν τοῖς μάλιστα,	parmi ceux *qui l'étaient* le plus,
καὶ γεγονὼς πρεσβευτὴς	et ayant été lieutenant *de lui*
καὶ συνηγωνισμένος	et ayant combattu-avec *lui*
προθυμότατα	avec-le-plus-de-zèle
ἐν πᾶσι τοῖς πολέμοις Κελτικοῖς,	dans toutes les guerres de-Gaule,
τότε ἀποδρὰς ἐκεῖνον,	alors ayant quitté lui,
ἀφίκετο πρὸς Πομπήϊον.	vint vers Pompée.
Ἀλλὰ ὁ Καῖσαρ	Mais César
ἀπέπεμψε τούτῳ μὲν	renvoya à celui-ci
καὶ τὰ χρήματα	et l'argent
καὶ τὰς ἀποσκευάς·	et les bagages :
ἐπελθὼν δὲ παρεστρατοπέδευσε	puis étant allé il campa
Δομιτίῳ ἡγουμένῳ	devant Domitius qui commandait
τριάκοντα σπειρῶν	trente cohortes
καὶ κατέχοντι Κορφίνιον·	et qui occupait Corfinium :
ὁ δὲ ἀπογνοὺς	et celui-ci ayant désespéré
τὰ κατὰ αὑτὸν,	relativement à soi,
ᾔτησε φάρμακον	demanda du poison
τὸν ἰατρὸν ὄντα οἰκέτην·	au médecin qui était son esclave :
καὶ λαβὼν τὸ δοθὲν,	et ayant pris le *poison* donné,
ἔπιεν ὡς τεθνηξόμενος.	il *le* but comme devant mourir.
Μετὰ ὀλίγον δὲ ἀκούσας	Mais après peu *de temps* ayant appris
τὸν Καίσαρα χρῆσθαι	César user

φιλανθρωπίᾳ χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὑτὸν ἀπεθρήνει καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ᾐτιᾶτο. Τοῦ δ' ἰατροῦ θαῤῥύναντος αὐτὸν ὡς ὑπνωτικὸν, οὐ θανάσιμον πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῄει πρὸς Καίσαρα, καὶ λαβὼν δεξιὰν, αὖθις διεξέπεσε πρὸς Πομπήϊον. Ταῦτ' εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα τοὺς ἀνθρώπους ἡδίους ἐποίει, καί τινες φυγόντες ἀνέστρεψαν.

XXXV. Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομιτίου στρατιὰν παρέλαβε, καὶ τοὺς ἄλλους ὅσους ἐν ταῖς πόλεσι Πομπηΐῳ στρατολογουμένους ἔφθασε καταλαβών. Πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς ἐπ' αὐτὸν ἤλαυνε Πομπήϊον. Ὁ δ' οὐκ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντήσιον[1] φυγὼν, τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς Δυῤῥάχιον, αὐτὸς δ' ὀλίγον ὕστερον ἐπελθόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστον δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ

traitait ses prisonniers, il déplora son malheur et la précipitation avec laquelle il avait pris une détermination si violente. Son médecin le rassura, en lui disant que le breuvage qu'il lui avait donné n'était pas un poison mortel, mais un simple narcotique. Content de cette assurance, il se leva sur-le-champ et alla trouver César, qui le reçut avec beaucoup d'amitié : cependant, peu de temps après, Domitius se rendit au camp de Pompée. Ces nouvelles, portées à Rome causèrent beaucoup de joie à ceux qui y étaient restés, et plusieurs de ceux qui en avaient fui y retournèrent.

XXXV. César prit à sa solde les troupes de Domitius ; et ; ayant prévenu ceux qui faisaient dans les villes des levées de soldats pour Pompée, il incorpora ces nouvelles recrues dans son armée. Devenu redoutable par ces renforts, il marcha contre Pompée ; mais celui-ci, ne jugeant pas à propos de l'attendre, se retira à Brindes, d'où il fit d'abord partir les consuls pour Dyrrachium avec des troupes, et y passa lui-même bientôt après l'arrivée de César devant Brindes. Je raconterai ces faits en détail dans la Vie de Pompée. César eût bien

τινὶ φιλανθρωπίᾳ θαυμαστῇ	d'une humanité merveilleuse
πρὸς τοὺς ἑαλωκότας,	envers ceux pris *par lui*,
αὐτὸς ἀπεθρήνει αὐτὸν	il se lamentait sur soi-même
καὶ ᾐτιᾶτο τὴν ὀξύτητα	et accusait la promptitude
τοῦ βουλεύματος.	de sa résolution.
Τοῦ δὲ ἰατροῦ θαῤῥύναντος αὐτὸν	Mais le médecin ayant rassuré lui
ὡς πεπωκότα	comme ayant bu
ὑπνωτικὸν, οὐ θανάσιμον,	un *breuvage* soporifique, non mortel,
ἀναστὰς περιχαρὴς	s'étant levé très-joyeux
ἀπῄει πρὸς Καίσαρα,	il s'en alla vers César,
καὶ λαβὼν δεξιὰν,	et ayant pris sa *main* droite,
διεξέπεσεν αὖθις πρὸς Πομπήϊον.	il passa de nouveau vers Pompée.
Ταῦτα ἀπαγγελλόμενα	Ces *choses* annoncées
εἰς τὴν Ῥώμην	à Rome
ἐποίει τοὺς ἀνθρώπους ἡδίους,	rendaient les hommes plus contents,
καί τινες φυγόντες	et quelques-uns qui avaient fui
ἀνέστρεψαν.	revinrent.
XXXV. Ὁ δὲ Καῖσαρ	XXXV. Cependant César
παρέλαβέ τε	prit *avec lui*
τὴν στρατιὰν τοῦ Δομιτίου	l'armée de Domitius,
καὶ τοὺς ἄλλους ὅσους	et les autres tous-ceux-que
ἔφθασε καταλαβὼν	il prévint *les* ayant surpris
στρατολογουμένους Πομπηΐῳ	faisant-des-levées pour Pompée
ἐν ταῖς πόλεσιν.	dans les villes.
Ἤδη δὲ γεγονὼς	Et déjà devenu
πολὺς καὶ φοβερὸς	fort-en-nombre et redoutable
ἤλαυνεν ἐπὶ Πομπήϊον αὐτόν.	il poussa vers Pompée lui-même.
Ὁ δὲ οὐκ ἐδέξατο τὴν ἔφοδον,	Mais celui-ci n'attendit pas l'attaque,
ἀλλὰ φυγὼν εἰς Βρεντήσιον,	mais ayant fui à Brindes,
ἔστειλε μὲν πρότερον	il envoya d'abord
τοὺς ὑπάτους εἰς Δυῤῥάχιον	les consuls à Dyrrachium
μετὰ δυνάμεως,	avec des troupes,
αὐτὸς δὲ ὀλίγον ὕστερον,	et lui-même un peu plus tard,
Καίσαρος ἐπελθόντος,	César étant arrivé,
ἐξέπλευσεν,	s'embarqua,
ὡς τὰ κατὰ ἕκαστον	comme les *choses* une-à-une
δηλωθήσεται	seront exposées
ἐν τοῖς γραφησομένοις	dans celles devant être écrites
περὶ ἐκείνου.	sur celui-ci (*Pompée*).
Ἀπορία δὲ νεῶν ἦν	Or manque de vaisseaux était

μὲν εὐθὺς διώκειν ἀπορία νεῶν ἦν. Εἰς δὲ τὴν Ῥώμην ἀνέστρεψε, γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος. Ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα καθεστῶσαν, καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνούς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς καὶ πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις· ὑπήκουσε δ' οὐδείς, εἴτε φοβούμενοι Πομπήϊον ἐγκαταλελειμμένον, εἴτε μὴ νομίζοντες οὕτω Καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπείᾳ λόγων χρῆσθαι. Τοῦ δὲ δημάρχου Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν, καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· «Σὺ δ' εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος· ὅταν δὲ καταθῶμαι τὰ ὅπλα, συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις. Καὶ ταῦτα, ἔφη, λέγω τῶν

voulu le poursuivre; mais il manquait de vaisseaux; il s'en retourna donc à Rome, après s'être rendu maître, en soixante jours, de toute l'Italie, sans verser une goutte de sang. Il trouva la ville beaucoup plus calme qu'il ne l'avait espéré; il parla avec beaucoup de douceur et de popularité à un grand nombre de sénateurs que la confiance y avait ramenés, et les exhorta à députer vers Pompée pour lui porter de sa part des conditions raisonnables. Aucun d'eux ne voulut accepter cette commission, soit qu'ils craignissent Pompée après l'avoir abandonné, soit qu'ils crussent que César ne parlait pas sincèrement, et que ce n'étaient de sa part que des paroles spécieuses. Le tribun Métellus voulut l'empêcher de prendre de l'argent dans le trésor public, et lui allégua des lois qui le défendaient. « Le temps des « armes, lui dit César, n'est pas celui des lois : si tu n'approuves pas « ce que je veux faire, retire-toi; la guerre ne souffre pas cette « liberté de parler. Quand, après l'accommodement fait, j'aurai posé « les armes, tu pourras alors haranguer tant que tu voudras. Au « reste, ajouta t-il, quand je parle ainsi, je n'use pas de tous mes

Καίσαρι βουλομένῳ μὲν	à César qui voulait certes
διώκειν εὐθύς.	poursuivre *lui* aussitôt.
Ἀνέστρεψε δὲ εἰς τὴν Ῥώμην,	Mais il retourna à Rome,
γεγονὼς ἀναιμωτὶ	étant devenu sans-verser-de-sang
κύριος πάσης τῆς Ἰταλίας	maître de toute l'Italie
ἐν ἑξήκοντα ἡμέραις.	en soixante jours.
Ἐπεὶ δὲ καὶ εὗρε τὴν πόλιν	Et comme il trouva la ville
καθεστῶσαν μᾶλλον ἢ προσεδόκα,	remise plus qu'il *ne s'y* attendait,
καὶ ἐν αὐτῇ	et dans elle
συχνοὺς τῶν ἀπὸ βουλῆς,	beaucoup de ceux du sénat,
διελέχθη μὲν τούτοις	il s'entretint avec ceux-ci
ἐπιεικῆ καὶ δημοτικά,	par des *paroles* modérées et populaires,
παρακαλῶν αὐτοὺς	exhortant eux
καὶ ἀποστέλλειν ἄνδρας	même à envoyer des gens
πρὸς Πομπήϊον	vers Pompée
ἐπὶ συμβάσεσι πρεπούσαις·	pour des conventions convenables :
οὐδεὶς δὲ ὑπήκουσεν,	mais aucun n'obéit,
εἴτε φοβούμενοι	soit craignant
Πομπήϊον ἐγκαταλελειμμένον,	Pompée abandonné *par eux*,
εἴτε μὴ νομίζοντες	soit ne croyant pas
Καίσαρα φρονεῖν οὕτως,	César penser ainsi,
ἀλλὰ χρῆσθαι	mais se servir
εὐπρεπείᾳ λόγων.	d'une belle-apparence de paroles
Τοῦ δὲ δημάρχου Μετέλλου	Et le tribun Métellus
κωλύοντος αὐτὸν	empêchant lui
λαμβάνειν χρήματα	prendre de l'argent
ἐκ τῶν ἀποθέτων,	de celui mis-en-réserve,
καὶ προφέροντός τινας νόμους,	et alléguant certaines lois,
ἔφη καιρὸν	il (*César*) dit le temps
ὅπλων καὶ νόμων	des armes et des lois
οὐκ εἶναι τὸν αὐτόν·	n'être-pas le même :
« Σὺ δὲ εἰ δυσχολαίνεις	« Mais toi si tu souffres-avec-peine
τοῖς πραττομένοις,	les *choses* qui se font,
νῦν μὲν ἄπιθι ἐκποδών·	maintenant certes va-t'-en à-l'écart ·
πόλεμος γὰρ οὐ δεῖται	car la guerre n'a-pas-besoin
παῤῥησίας·	de liberté-de-parole :
ὅταν δὲ καταθῶμαι τὰ ὅπλα,	mais lorsque j'aurai déposé les armes,
συμβάσεων γενομένων,	des conventions ayant eu lieu,
τότε παριὼν	alors venant
δημαγωγήσεις.	tu harangueras-le-peuple.

ἐμαυτοῦ δικαίων ὑφιέμενος. Ἐμὸς γάρ εἶ καὶ σὺ καὶ πάντες ὅσους εἴληφα τῶν πρὸς ἐμὲ στασιασάντων.» Ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν, ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμιείου. Μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος ἐκκόπτειν ἐκέλευεν· αὖθις δ' ἐνισταμένου τοῦ Μετέλλου, καί τινων ἐπαινούντων, διατεινάμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. «Καὶ τοῦτο, ἔφη, μειράκιον, οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι.» Οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα, καὶ τἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

XXXVI. Ἐστράτευε δ' εἰς Ἰβηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάῤῥωνα, Πομπηΐου πρεσβευτὰς, ἐκβαλεῖν, καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ ποιησάμενος, οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν, μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολιπόμενος. Κινδυνεύσας δὲ καὶ τῷ σώματι πολλάκις κατ'

« droits ; car vous m'appartenez par le droit de la guerre, toi et tous « ceux qui, après vous être déclarés contre moi, êtes tombés entre « mes mains. » En parlant ainsi à Métellus, il s'avança vers les portes du trésor, et, comme on ne trouvait pas les clefs, il envoya chercher des serruriers et leur ordonna d'enfoncer les portes. Métellus voulut encore s'y opposer, et plusieurs personnes louaient sa fermeté. César, prenant un ton plus haut, menaça de le tuer, s'il l'importunait encore : « Et tu sais, jeune homme, ajouta-t-il, qu'il m'était moins facile de le dire que de le faire. » Métellus, effrayé de ces dernières paroles, se retira, et tout de suite on fournit à César, sans aucune difficulté, tout l'argent dont il avait besoin pour faire la guerre.

XXXVI. Il se rendit aussitôt en Espagne avec une armée pour en chasser les deux lieutenants de Pompée, Afranius et Varron, et pouvoir, après s'être rendu maître de leurs troupes et de leurs gouvernements, marcher contre Pompée, sans laisser derrière lui aucun ennemi. Dans cette guerre, sa vie fut souvent en danger par les

Καὶ λέγω ταῦτα, ἔφη,	Et je dis cela, dit-il,
ὑφιέμενος τῶν δικαίων	me relâchant des justes *droits*
ἐμαυτοῦ. Εἶ γὰρ ἐμὸς	de moi-même. Car tu es mien
καὶ σὺ καὶ πάντες ὅσους εἴληφα	et toi et tous ceux-que j'ai pris
τῶν στασιασάντων πρὸς ἐμέ. »	de ceux ayant pris-parti contre moi. »
Εἰπὼν ταῦτα πρὸς τὸν Μέτελλον,	Ayant dit cela à Métellus,
ἐβάδιζε πρὸς τὰς θύρας	il marchait vers les portes
τοῦ ταμιείου.	du trésor-public.
Τῶν δὲ κλειδῶν μὴ φαινομένων,	Mais les clés ne paraissant pas,
μεταπεμψάμενος χαλκεῖς	ayant envoyé-chercher des serruriers
ἐκέλευεν ἐκκόπτειν·	il ordonna *eux* briser *les portes :*
αὖθις δὲ τοῦ Μετέλλου ἐνισταμένου,	et de nouveau Métellus s'opposant,
καί τινων ἐπαινούντων,	et quelques-uns approuvant *lui*,
διατεινάμενος ἠπείλησεν	ayant élevé-la-voix il menaça
ἀποκτενεῖν αὐτὸν,	de faire-périr lui,
εἰ μὴ παύσαιτο παρενοχλῶν	s'il ne cessait *l'*importunant.
« Καὶ οὐκ ἀγνοεῖς, ἔφη,	« Et tu n'ignores pas, dit-il,
μειράκιον, ὅτι τοῦτο	jeune-homme, que cela
ἦν μοι δυσκολώτερον	était à moi plus difficile
εἰπεῖν ἢ πρᾶξαι. »	à dire qu'à faire. »
Οὗτος ὁ λόγος τότε	Cette parole alors
ἐποίησε καὶ Μέτελλον	fit et Métellus
ἀπελθεῖν καταδείσαντα,	se retirer effrayé,
καὶ τὰ ἄλλα	et le reste
ὑπηρετεῖσθαι αὐτῷ	être fourni à lui (*César*)
ῥᾳδίως καὶ ταχέως	facilement et promptement
πρὸς τὸν πόλεμον.	pour la guerre.
XXXVI. Ἐστράτευε δὲ	XXXVI. Or il conduisit-l'armée
εἰς Ἰβηρίαν,	en Espagne,
ἐγνωκὼς ἐκβαλεῖν πρότερον	ayant résolu de chasser d'abord
τοὺς περὶ Ἀφράνιον καὶ Βάῤῥωνα,	Afranius et Varron,
πρεσβευτὰς Πομπηΐου,	lieutenants de Pompée,
καὶ ποιησάμενος ὑπὸ αὑτῷ	et ayant mis sous lui
τὰς δυνάμεις	les troupes
καὶ τὰς ἐπαρχίας (τὰς) ἐκεῖ	et les provinces *de* là (*d'Espagne*)
ἐλαύνειν οὕτως ἐπὶ Πομπήϊον,	de pousser ainsi contre Pompée,
ὑπολιπόμενος κατὰ νώτου	*n'*ayant laissé sur ses derrières
μηδένα τῶν πολεμίων.	aucun des ennemis.
Κινδυνεύσας δὲ	Et ayant été-en-danger
καὶ τῷ σώματι	et de son corps

ἐνέδρας, καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας, ἢ κύριος βίᾳ γενέσθαι τῶν στρατοπέδων καὶ τῶν δυνάμεων. Οἱ δ' ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.

XXXVII. Ἐπανελθόντα δ' εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. Αἱρεθεὶς δὲ καὶ δικτάτωρ ὑπὸ τῆς βουλῆς, φυγάδας τε κατήγαγε καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε, καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας· ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων οὐ πολλῶν· ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δ' ἀναδείξας ἑαυτὸν καὶ Σερουΐλιον Ἰσαυρικὸν εἴχετο τῆς στρατείας. Καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δ'

embûches qu'on lui dressa, et son armée manqua de périr par la disette; mais il n'en fut pas moins ardent à poursuivre les ennemis, à les provoquer au combat, à les environner de tranchées, jusqu'à ce qu'il eût en sa puissance leurs troupes et leurs camps. Les chefs prirent la fuite et allèrent trouver Pompée.

XXXVII. Quand César fut de retour à Rome, Pison, son beau père, lui conseilla d'envoyer des députés à Pompée, pour traiter d'un accommodement; mais Isauricus, qui voulait plaire à César, combattit cette proposition. Élu dictateur par le sénat, il rappela les bannis, rétablit dans tous leurs droits les enfants de ceux qui avaient été proscrits par Sylla, et déchargea les débiteurs d'une partie des intérêts de leurs dettes. Il fit quelques autres ordonnances semblables, et ne garda la dictature que onze jours : après ce terme, il déposa cette magistrature, qui tenait de la monarchie, se nomma lui-même consul avec Servilius Isauricus, et ne s'occupa plus que de

πολλάκις κατὰ ἐνέδρας,	souvent par des embûches,
καὶ τῷ στρατῷ	et de son armée
μάλιστα διὰ λιμὸν,	surtout par la famine,
οὐκ ἀνῆκε διώκων	il ne se relâcha pas poursuivant
καὶ προκαλούμενος	et provoquant
καὶ περιταφρεύων	et environnant-de-tranchées
τοὺς ἄνδρας	les hommes (*les ennemis*)
πρότερον, ἢ γενέσθαι βίᾳ	avant que d'être devenu par force
κύριος τῶν στρατοπέδων	maître des camps
καὶ τῶν δυνάμεων.	et des troupes *d'eux*.
Οἱ δὲ ἡγεμόνες ᾤχοντο	Mais les chefs partirent
φεύγοντες πρὸς Πομπήϊον.	fuyant vers Pompée.
XXXVII. Πείσων δὲ	XXXVII. Or Pison
ὁ πενθερὸς	beau-père *de lui*
παρεκάλει μὲν Καίσαρα	engageait César
ἐπανελθόντα εἰς Ῥώμην	étant revenu à Rome
ἀποστέλλειν ἄνδρας	à envoyer des gens
πρὸς Πομπήϊον ὑπὲρ διαλύσεως,	vers Pompée pour un traité,
Ἰσαυρικὸς δὲ ἀντεῖπε	mais Isauricus dit-le-contraire
χαριζόμενος Καίσαρι.	cherchant-à-plaire à César.
Αἱρεθεὶς δὲ καὶ δικτάτωρ	Cependant élu dictateur
ὑπὸ τῆς βουλῆς,	par le sénat,
κατήγαγέ τε φυγάδας	et il fit-revenir les exilés
καὶ ἐποίησεν ἐπιτίμους	et il rendit honorés
τοὺς παῖδας	les enfants
τῶν δυστυχησάντων	de ceux ayant été-malheureux
ἐπὶ Σύλλα,	sous Sylla,
καὶ ἐκούφιζε τοὺς χρεωφειλέτας	et il allégea les débiteurs
τινὶ σεισαχθείᾳ τόκων·	par une abolition de dettes :
ἥψατό τε	et il toucha
ἄλλων τοιούτων πολιτευμάτων	à d'autres telles mesures-politiques
οὐ πολλῶν·	non nombreuses :
ἀλλὰ ἐν ἕνδεκα ἡμέραις	mais en onze jours
ἀπειπάμενος μὲν τὴν μοναρχίαν,	ayant abdiqué la dictature,
ἀναδείξας δὲ ὕπατον ἑαυτὸν	et ayant nommé consul soi-même
καὶ Σερουΐλιον Ἰσαυρικὸν	et Servilius Isauricus
εἴχετο τῆς στρατείας.	il s'occupa de son expédition.
Καὶ ἐπειγόμενος μὲν	Et se hâtant
παρῆλθε κατὰ ὁδὸν	il passa en route
τὰς ἄλλας δυνάμεις,	devant les autres troupes,

ἔχων λογάδας ἑξακοσίους καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου Ἰανουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν[1] Ἀθηναίοις), ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν Ἰόνιον, Ὤρικον[2] καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντήσιον ἐπὶ τοὺς ὑστερήσαντας τῇ πορείᾳ στρατιώτας. Οἱ δ', ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι καὶ πρὸς τὰ πλήθη τῶν πολέμων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν Καίσαρα· «Ποῖ δὴ καὶ πρὸς τί πέρας ἡμᾶς οὗτος ὁ ἀνὴρ καταθήσεται περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε πληγαῖς, καὶ θυρεοῦ τίς ἐστι φειδὼ ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. Οὐδ' ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν; ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι

la guerre. Il fit tant de diligence, qu'il laissa derrière lui une grande partie de son armée, et, quoiqu'il n'eût que six cents chevaux d'élite et cinq légions, quoiqu'on fût vers le solstice d'hiver, au commencement de janvier, qui répond au mois Posidéon des Athéniens, il s'embarqua, traversa la mer Ionienne, et se rendit maître des villes d'Oricum et d'Apollonie. Il renvoya des vaisseaux de transport à Brindes pour amener les troupes qui n'avaient pu s'y rendre avant qu'il partît. Ces troupes, épuisées de fatigue, rebutées de combattre sans relâche contre tant d'ennemis, se plaignaient de César dans leur route : « Où donc, disaient-elles, cet homme veut-il nous mener? « quel terme mettra-t-il à nos travaux? ne cessera-t-il jamais de nous « traîner partout à sa suite, et de se servir de nous comme si nous « avions des corps de fer? mais le fer même s'use par les coups dont « on le frappe; les boucliers et les cuirasses ont de temps en temps « besoin de repos. César, en voyant nos blessures, ne doit-il pas son- « ger qu'il commande à des hommes mortels, et que nous ne pouvons « souffrir des maux au-dessus de l'humanité? Un dieu même pourrait-il « forcer la saison de l'hiver et le temps du vent sur la mer?

ἔχων δὲ ἑξακοσίους
ἱππεῖς λογάδας
καὶ πέντε τάγματα,
χειμῶνος ὄντος ἐν τροπαῖς,
μηνὸς Ἰανουαρίου ἱσταμένου
(οὗτος δὲ ἂν εἴη
Ποσειδεὼν Ἀθηναίοις);
ἀφῆκεν εἰς τὸ πέλαγος·
καὶ διαβαλὼν τὸν Ἰόνιον,
αἱρεῖ Ὤρικον καὶ Ἀπολλωνίαν,
ἀπέπεμψε δὲ πάλιν
τὰ πλοῖα εἰς Βρεντήσιον
ἐπὶ τοὺς στρατιώτας
ὑστερήσαντας τῇ πορείᾳ.
Οἱ δὲ, ἄχρι μὲν
ἦσαν κατὰ ὁδὸν,
ἅτε δὴ ἤδη
καὶ παρηκμακότες τοῖς σώμασι
καὶ ἀπειρηκότες
πρὸς τὰ πλήθη τῶν πολέμων,
εἶχον ἐν αἰτίαις τὸν Καίσαρα·
« Ποῖ δὴ καὶ πρὸς τί πέρας
οὗτος ὁ ἀνὴρ καταθήσεται ἡμᾶς
περιφέρων καὶ χρώμενος ἡμῖν
ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις;
καὶ σίδηρος
ἐξέκαμε πληγαῖς,
καί τις φειδὼ
θυρεοῦ καὶ θώρακος
ἐστὶν ἐν τοσούτῳ χρόνῳ.
Καῖσαρ οὐδὲ ἄρα λογίζεται
ἀπὸ τῶν τραυμάτων
ὅτι μὲν ἄρχει θνητῶν,
πεφύκαμεν δὲ
πάσχειν καὶ ἀλγεῖν
θνητά;
δυνατὸν δὲ οὐδὲ θεῷ
βιάζεσθαι ὥραν χειμῶνος
καὶ καιρὸν πνεύματος
ἐν θαλάττῃ·

et ayant six-cents
cavaliers d'-élite
et cinq légions,
l'hiver étant au solstice,
le mois de janvier commençant
(or ce *mois* serait
le Posidéon aux Athéniens),
il *se* mit en mer :
et ayant traversé la *mer* Ionienne,
il prend Oricum et Apollonie,
puis il renvoya de nouveau
ses vaisseaux à Brindes
pour les soldats
qui étaient-en-retard de marche.
Or ceux-ci, tant que
ils furent en route,
comme certes déjà
et usés de corps
et épuisés
par le grand nombre des guerres,
avaient en accusation César :
« Où donc et vers quel terme
cet homme déposera-t-il nous
nous entraînant et usant de nous
comme infatigables et inanimés?
le fer même
se fatigue par les coups,
et quelque épargne
du bouclier et de la cuirasse
est *nécessaire* dans un si long temps.
César ne songe-t-il-donc-pas
d'après les blessures *de nous*
qu'il commande à des mortels,
et *que* nous sommes nés
pour éprouver et souffrir
des *maux* propres-aux-mortels?
or il n'est-pas possible même à un
de forcer la saison de l'hiver [dieu
et le temps du vent
sur la mer :

δυνατόν· ἀλλ' οὗτος παραβάλλεται καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων.» Τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντήσιον. Ὡς δ' ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες ἐκάκιζον ἑαυτοὺς, προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος· ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. Καθήμενοι δ' ἐπὶ τῶν ἄκρων, πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον ἀπεσκόπουν τὰς ναῦς, ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.

XXXVIII. Ἐν δ' Ἀπολλωνίᾳ Καῖσαρ, οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν, ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς, τὸ μέγεθος δωδεκάσκαλμον, ἀναχθῆναι πρὸς τὸ Βρεντήσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. Νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἐνέβη, καὶ καταβαλὼν ἑαυτὸν ὥς τινα τῶν παρημελημένων ἡσύχαζε. Τοῦ δὲ Ἀνίου[1] ποταμοῦ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θά-

« Et cependant c'est dans cette saison qu'il nous expose à tous les « périls de la mer. On dirait, non qu'il poursuit ses ennemis, mais « qu'il fuit devant eux. » Tout occupés de leurs plaintes, ils s'acheminaient lentement vers Brindes; mais, lorsqu'en y arrivant ils trouvèrent César déjà parti, alors, changeant de langage, ils se firent à eux-mêmes les plus vifs reproches, et s'accusèrent d'avoir trahi leur général; ils s'en prirent aussi à leurs officiers, qui n'avaient pas pressé leur marche, et, assis au haut de la côte, ils portaient leurs regards sur la mer et vers l'Épire, pour voir s'ils apercevraient les vaisseaux qui devaient revenir les chercher.

XXXVIII. Cependant César se trouvait à Apollonie avec une armée trop faible pour rien entreprendre, parce que les troupes de Brindes tardaient à arriver. Livré à une incertitude affligeante, il prit enfin la résolution hasardeuse de s'embarquer seul, à l'insu de tout le monde, sur un simple bateau à douze rames, pour se rendre plus promptement à Brindes, quoique la mer fût couverte de vaisseaux ennemis. A l'entrée de la nuit, il se déguise en esclave, monte dans le bateau, se jette dans un coin comme le dernier des passagers, et s'y tient sans rien dire. La barque descendait le fleuve Anius, qui la portait

ἀλλὰ οὗτος παραβάλλεται	mais celui-ci s'expose
οὐ καθάπερ διώκων πολεμίους,	non comme poursuivant des ennemis
ἀλλὰ φεύγων. »	mais *comme* fuyant. »
Λέγοντες τοιαῦτα	Disant de telles *choses*
ἐπορεύοντο σχολαίως	ils marchaient lentement
εἰς τὸ Βρεντήσιον.	vers Brindes.
Ὡς δὲ ἐλθόντες εὗρον	Mais comme arrivés ils trouvèrent
τὸν Καίσαρα ἀνηγμένον,	César parti,
ταχὺ πάλιν αὖ μεταβαλόντες	vite de nouveau alors ayant changé
ἐκάκιζον ἑαυτούς,	ils *s*'accusaient eux-mêmes
ἀποκαλοῦντες προδότας	*s*'appelant traîtres
τοῦ αὐτοκράτορος·	de leur général :
ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας	et ils accusaient aussi les chefs
οὐκ ἐπιταχύναντας τὴν πορείαν.	qui n'avaient-pas-hâté la marche.
ὡς συμβασιλεύσουσαν.	comme *elle* devant régner avec *lui*.
Ἔπειτα δὲ ἁπάντων	Et ensuite tous
ἑστιωμένων ταῖς διαλλαγαῖς,	festinant pour la réconciliation,
κουρεὺς οἰκέτης Καίσαρος,	un barbier valet de César
οὐδὲν ἐῶν ἀνεξέταστον	*ne* laissant rien non-examiné
διὰ δειλίαν,	par suite de la poltronnerie,
ᾗ ὑπερέβαλλε	par laquelle il surpassait
πάντας ἀνθρώπους,	tous les hommes,
ἀλλὰ ὠτακουστῶν	mais prêtant-l'oreille
καὶ πολυπραγμονῶν,	et s'occupant-de-tout
συνῆκεν ἐπιβουλὴν	découvrit le piége
πραττομένην Καίσαρι	fait (*tendu*) à César
ὑπὸ τοῦ στρατηγοῦ Ἀχιλλᾶ	par le général Achillas
καὶ τοῦ εὐνούχου Ποθεινοῦ.	et l'eunuque Pothin.
Ὁ δὲ Καῖσαρ φωράσας,	Et César *les* ayant pris-sur-le-fait,
περιέστησε μὲν φρουρὰν	mit une garde
τῷ ἀνδρῶνι,	autour de la salle-des-hommes,
ἀνεῖλε δὲ τὸν Ποθεινόν·	et fit-périr Pothin :
ὁ δὲ Ἀχιλλᾶς φυγὼν	mais Achillas ayant fui
εἰς τὸ στρατόπεδον,	dans le camp,
περιέστησε πόλεμον	suscita une guerre
βαρὺν καὶ δυσμεταχείριστον	redoutable et difficile
αὐτῷ ἀμυνομένῳ	à lui (*César*) qui se défendait
ὀλιγοστῷ	avec-peu-de-monde
πρὸς τοσαύτην πόλιν	contre une si grande ville
καὶ δύναμιν.	et une *si grande* armée.
Ἐν ᾧ πρῶτον μὲν	Dans laquelle *guerre* d'abord

σθείς· αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων. Δεύτερον δὲ, περικοπτόμενος τὸν στόλον, ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε. Τρίτον δὲ, περὶ τῇ Φάρῳ[1] μάχης συνεστώσης, κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις. Ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν, ἀπενήξατο μόλις καὶ χαλεπῶς· ὅτε καὶ λέγεται βιβλίδια κρατῶν πολλὰ μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια, τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δ' ἀκάτιον εὐθὺς ἐβυθίσθη. Τέλος δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους

mis avaient bouché tous les aqueducs qui pouvaient lui en fournir. Il courut un second péril, lorsque les Alexandrins voulurent lui enlever sa flotte, et que, pour se sauver, il fut obligé de la brûler lui-même : le feu prit à l'arsenal, et consuma la grande bibliothèque que les rois d'Égypte avaient formée. Enfin, dans le combat qui se donna près de l'île de Pharos, il sauta de la digue dans un bateau, pour aller au secours de ses troupes, qui étaient pressées par l'ennemi : voyant les Égyptiens accourir de toutes parts pour l'envelopper, il se jette à la mer et se sauve à la nage avec la plus grande difficulté. Ce fut, dit-on, dans cette occasion qu'il nagea en tenant dans sa main des papiers, qu'il n'abandonna jamais, malgré la multitude de traits que les ennemis faisaient pleuvoir sur lui, et qui l'obligeaient souvent de plonger; il soutint toujours ces papiers d'une main au-dessus de l'eau, pendant qu'il nageait de l'autre. Il était à peine à terre que le bateau coula à fond. Le roi ayant joint son armée, César le suivit,

ἐκινδύνευσεν	*César* fut-en-danger
ἀποκλεισθεὶς ὕδατος·	étant intercepté *du côté* de l'eau :
αἱ γὰρ διώρυχες	car les aqueducs
ἀπῳκοδομήθησαν	avaient été bouchés
ὑπὸ τῶν πολεμίων.	par les ennemis.
Δεύτερον δὲ,	Et en-second-lieu,
περικοπτόμενος τὸν στόλον,	étant coupé de sa flotte,
ἠναγκάσθη	il fut forcé
ἀπώσασθαι τὸν κίνδυνον	d'éloigner le danger
διὰ πυρὸς, ὃ καὶ	par l'incendie, qui même
ἐπινεμόμενον ἐκ τῶν νεωρίων	se répandant des arsenaux
διέφθειρε	détruisit
τὴν μεγάλην βιβλιοθήκην.	la grande bibliothèque.
Τρίτον δὲ, μάχης	Et en-troisième-lieu, un combat
συνεστώσης περὶ τῇ Φάρῳ,	s'étant engagé près de Pharos,
κατεπήδησε μὲν	il s'élança
ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον	de la digue dans un bateau
καὶ παρεβοήθει	et porta-secours
τοῖς ἀγωνιζομένοις.	aux combattants.
Τῶν δὲ Αἰγυπτίων	Or les Égyptiens
ἐπιπλεόντων αὐτῷ	naviguant vers lui
πολλαχόθεν,	de-plusieurs-côtés,
ῥίψας ἑαυτὸν	s'étant jeté lui-même
εἰς τὴν θάλασσαν,	à la mer,
ἀπενήξατο μόλις	il se-sauva-à-la-nage avec peine
καὶ χαλεπῶς·	et difficilement :
ὅτε καὶ λέγεται	lorsque même il est dit
κρατῶν	tenant-fortement
πολλὰ βιβλίδια	plusieurs petits-livres
μὴ προέσθαι	ne *les* avoir pas-lâchés [geant,
βαλλόμενος καὶ βαπτιζόμενος,	étant-en-butte-aux-traits et plon-
ἀλλὰ ἀνέχων τὰ βιβλίδια	mais élevant les petits-livres
ὑπὲρ τῆς θαλάσσης	au-dessus de la mer
νήχεσθαι τῇ ἑτέρᾳ χειρί·	nager de l'autre main :
τὸ δὲ ἀκάτιον	mais le bateau
ἐβυθίσθη εὐθύς.	fut coulé-à-fond aussitôt.
Τέλος δὲ, τοῦ βασιλέως	Mais enfin, le roi
ἀποχωρήσαντος	s'étant rendu
πρὸς τοὺς πολεμίους,	vers les ennemis,
ἐπελθὼν	*César* étant survenu

ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην, ἐνίκησε, πολλῶν πεσόντων αὐτοῦ τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. Καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα προσηγόρευον, ὥρμησεν ἐπὶ Συρίας.

L. Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν, ἐπυνθάνετο Δομίτιον μὲν ὑπὸ Φαρνάκου, τοῦ Μιθριδάτου παιδὸς, ἡττημένον ἐκ Πόντου πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον ἀπλήστως καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν, Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης, καὶ πάντας ἀνιστάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. Εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι, καὶ περὶ πόλιν Ζῆλαν[1] μάχην μεγάλην συνάψας, αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα, τὴν δὲ στρατιὰν ἄρδην ἀνεῖλε. Καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην πρός τινα τῶν φίλων Ἀμίντιον[2] ἔγραψε τρεῖς λέξεις·

lui livra bataille, et après lui avoir tué beaucoup de monde, il remporta une victoire complète. Ptolémée disparut à ce combat, et depuis on n'en entendit plus parler. César donna tout le royaume d'Égypte à Cléopâtre, qui, peu de temps après, accoucha d'un fils que les Alexandrins appelèrent Césarion; et aussitôt César partit pour la Syrie.

L. En arrivant en Asie, il apprit que Domitius, après avoir été battu par Pharnace, fils de Mithridate, s'était enfui du Pont avec peu de troupes; que Pharnace, poursuivant avec chaleur sa victoire, s'était emparé de la Bithynie et de la Cappadoce, et se préparait à envahir la petite Arménie, dont il avait fait soulever les rois et les tétrarques. César marche promptement contre lui avec trois légions, et lui livre une grande bataille près de la ville de Zéla; il taille en pièces toute son armée et le chasse du royaume de Pont. Ce fut alors que, pour marquer la rapidité de cette victoire, il écrivit à Amintius, un de ses amis de Rome, ces trois mots seulement : « Je suis venu,

καὶ συνάψας μάχην,	et ayant livré bataille,
ἐνίκησε,	vainquit,
πολλῶν πεσόντων	beaucoup étant tombés
τοῦ τε βασιλέως αὐτοῦ	et le roi lui-même
γενομένου ἀφανοῦς.	étant devenu invisible.
Καταλιπὼν δὲ τὴν Κλεοπάτραν	Or ayant laissé Cléopâtre
βασιλεύουσαν Αἰγύπτου	régnant sur l'Égypte
καὶ τεκοῦσαν μικρὸν ὕστερον	et qui mit-au-monde peu après
ἐξ αὐτοῦ	de lui
υἱὸν ὃν Ἀλεξανδρεῖς	un fils que les Alexandrins
προσηγόρευον Καισαρίωνα,	appelèrent Césarion,
ὥρμησεν ἐπὶ Συρίας.	il partit pour la Syrie.
L. Καὶ ἐκεῖθεν	L. Et de-là
ἐπιὼν τὴν Ἀσίαν,	ayant passé en Asie,
ἐπυνθάνετο Δομίτιον μὲν	il apprit Domitius d'une part
ἡττημένον ὑπὸ Φαρνάκου,	vaincu par Pharnace,
τοῦ παιδὸς Μιθριδάτου,	le fils de Mithridate,
πεφευγέναι ἐκ Πόντου	s'être enfui du Pont
σὺν ὀλίγοις,	avec quelques *hommes*,
Φαρνάκην δὲ	et d'autre part Pharnace
χρώμενον τῇ νίκῃ ἀπλήστως	usant de la victoire sans-mesure
καὶ ἔχοντα Βιθυνίαν	et occupant la Bithynie
καὶ Καππαδοκίαν,	et la Cappadoce,
ἐφίεσθαι Ἀρμενίας	se diriger-vers l'Arménie
τῆς καλουμένης μικρᾶς,	celle qui est appelée petite,
καὶ ἀνιστάναι	et soulever
πάντας τοὺς βασιλεῖς	tous les rois
καὶ τετράρχας ταύτῃ.	et les tétrarques de ce *pays*.
Εὐθὺς οὖν ἤλαυνεν	Aussitôt donc il poussa
ἐπὶ τὸν ἄνδρα	contre *cet* homme
τρισὶ τάγμασι,	avec trois légions,
καὶ συνάψας	et ayant livré
μεγάλην μάχην	une grande bataille
περὶ πόλιν Ζῆλαν,	près de la ville de Zéla,
ἐξέβαλε μὲν τοῦ Πόντου	il chassa du Pont
αὐτὸν φεύγοντα,	lui qui fuyait,
ἀνεῖλε δὲ ἄρδην	et détruisit entièrement
τὴν στρατιάν.	l'armée *de lui*.
Καὶ ἀναγγέλλων εἰς Ῥώμην	Et annonçant à Rome
πρὸς Ἀμίντιόν τινα τῶν φίλων	à Amintius un de ses amis

« Ἦλθον, εἶδον, ἐνίκησα. » Ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.

LI. Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν, ἀνέβαινεν εἰς Ῥώμην, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ᾕρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον ἐνιαυσίου γενομένης. Εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκουσεν ὅτι, τῶν στρατιωτῶν στασιασάντων καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον ὅσον ἀντὶ στρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν ἑκάστῳ δραχμὰς καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. Ἦν δ' αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία, καὶ ἡ Ἀμιντίου φιλαργυρία, καὶ μεθύων Ἀντώνιος, καὶ Κορφίνιος[1] τὴν Πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν ὡς ἱκανὴν οὐκ

« j'ai vu, j'ai vaincu. » Dans le latin, ces trois mots terminés de même ont une brièveté qui n'est pas sans grâce.

LI. Après cette grande victoire, il repassa en Italie, et arriva à Rome vers la fin de l'année où devait se terminer sa seconde dictature : cette charge, avant lui, n'avait jamais été annuelle. Il fut nommé consul pour l'année suivante. On le blâma fort de son extrême indulgence pour ses soldats, qui, dans une émeute, avaient tué deux personnages prétoriens, Cosconius et Galba. La seule punition qu'il leur infligea fut de leur donner le nom de citoyens, au lieu de celui de soldats ; il leur distribua même mille drachmes par tête, et leur assigna des terres considérables dans l'Italie. On lui reprochait aussi les fureurs de Dolabella, l'avarice d'Amintius, les ivrogneries d'Antoine et l'insolence de Cornificius, qui, s'étant adjugé la maison de Pompée, et ne la trouvant pas assez grande pour lui, en construisait

τὴν ὀξύτητα καὶ τὸ τάχος	la célérité et la promptitude
ταύτης τῆς μάχης,	de cette bataille,
ἔγραψε τρεῖς λέξεις·	il écrivit trois mots :
« Ἦλθον, εἶδον,	« Je suis venu, j'ai vu,
ἐνίκησα. »	j'ai vaincu. »
Ῥωμαϊστὶ δὲ αἱ λέξεις	Or en-romain les expressions
ἀπολήγουσαι	qui se terminent
εἰς σχῆμα ὅμοιον ῥήματος	en une forme semblable de mot
ἔχουσι τὴν βραχυλογίαν	ont une brièveté
οὐκ ἀπίθανον.	non sans-grâce.
LI. Ἐκ τούτου	LI. Après cela
διαβαλὼν εἰς Ἰταλίαν,	ayant passé en Italie,
ἀνέβαινεν εἰς Ῥώμην,	il revint à Rome,
τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος,	l'année finissant,
εἰς ὃν ᾕρητο δικτάτωρ	pour laquelle il avait été élu dictateur
τὸ δεύτερον,	la seconde *fois*,
ἐκείνης τῆς ἀρχῆς	cette charge-là
γενομένης ἐνιαυσίου	n'ayant été annuelle
οὐδέποτε πρότερον.	jamais auparavant.
Ἀπεδείχθη δὲ ὕπατος	Et il fut nommé consul
εἰς τὸ ἐπιόν·	pour l'*année* suivante :
καὶ ἤκουσε κακῶς,	et il entendit mal *parler de lui*,
ὅτι, τῶν στρατιωτῶν	parce que, les soldats
στασιασάντων καὶ ἀνελόντων	s'étant révoltés et ayant tué
δύο ἄνδρας στρατηγικοὺς	deux hommes prétoriens
Κοσκώνιον καὶ Γάλβαν,	Cosconius et Galba,
ἐπετίμησε μὲν αὐτοῖς	il avait blâmé eux
τοσοῦτον ὅσον προσαγορεῦσαι	en tant que de *les* appeler
πολίτας ἀντὶ στρατιωτῶν,	citoyens au lieu de soldats,
διένειμε δὲ ἑκάστῳ	et avait distribué à chacun
χιλίας δραχμὰς	mille drachmes
καὶ ἀπεκλήρωσε	et *leur* avait donné-en-partage
πολλὴν χώραν τῆς Ἰταλίας.	un grand territoire de l'Italie.
Διαβολὴ δὲ αὐτοῦ	Mais un sujet-de-reproche contre lui
ἦν	était
καὶ ἡ μανία Δολοβέλλα,	et la fureur de Dolabella,
καὶ ἡ φιλαργυρία Ἀμιντίου,	et l'avarice d'Amintius,
καὶ Ἀντώνιος μεθύων,	et Antoine qui s'enivrait,
καὶ Κορφίνιος σκευωρούμενος	et Cornificius qui fouillait
τὴν οἰκίαν Πομπηΐου	la maison de Pompée

οὖσαν. Ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας, οὐκ ἀγνοῶν οὐδὲ βουλόμενος, ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσι.

LII. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκιπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων, κἀκεῖ τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν, καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος, ἐμβὰς ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. Ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν, ἀνήχθη πάλιν, ὑπὲρ τῆς μείζονος ὀῤῥωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν,

sur le même terrain une plus grande. Les Romains étaient indignés de tous ces désordres; et César, qui ne l'ignorait pas, aurait bien voulu les empêcher; mais, pour arriver à ses fins politiques, il était obligé d'employer de pareils agents.

LII. Après la bataille de Pharsale, Caton et Scipion s'étaient enfuis en Afrique, où, par le secours du roi Juba, ils avaient mis sur pied une armée assez considérable. César, ayant résolu de marcher contre eux sans différer, passe en Sicile vers le solstice d'hiver; et, pour ôter à ses officiers tout espoir de retard et de délai, il dresse sa tente sur le bord de la mer, et, au premier vent favorable, il fait voile avec trois mille hommes de pied et quelques chevaux; il les débarque sans être aperçu, et se remet aussitôt en mer pour aller chercher le reste de son armée, dont il était inquiet; il la rencontre

καὶ μετοικοδομῶν	et qui rebâtissait *elle*
ὡς οὐκ οὖσαν ἱκανήν.	comme n'étant pas suffisante.
Ῥωμαῖοι γὰρ	Car les Romains
ἐδυσφόρουν ἐπὶ τούτοις.	étaient indignés de ces *choses.*
Καῖσαρ δὲ,	Mais César,
διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας,	à cause du but de sa politique,
οὐκ ἀγνοῶν οὐδὲ βουλόμενος,	n'ignorant pas *cela* ni *ne le* voulant,
ἠναγκάζετο χρῆσθαι	était forcé d'user
τοῖς ὑπουργοῦσι.	de ceux qui servaient *lui.*
LII. Τῶν δὲ περὶ Κάτωνα	LII. Cependant Caton
καὶ Σκιπίωνα	et Scipion
φυγόντων εἰς Λιβύην	ayant fui en Libye
μετὰ τὴν μάχην ἐν Φαρσάλῳ,	après la bataille *livrée* à Pharsale,
καὶ ἐκεῖ ἠθροικότων	et là ayant rassemblé
δυνάμεις ἀξιολόγους,	des forces considérables,
τοῦ βασιλέως Ἰόβα	le roi Juba
βοηθοῦντος αὐτοῖς,	secourant eux,
ὁ Καῖσαρ ἔγνω	César résolut
στρατεύειν	de se mettre-en-campagne
ἐπὶ αὐτούς·	contre eux :
καὶ διαβὰς εἰς Σικελίαν	et ayant passé en Sicile
περὶ τροπὰς χειμερινὰς,	vers le solstice d'-hiver,
καὶ βουλόμενος εὐθὺς ἀποκόψαι	et voulant aussitôt détruire
ἅπασαν ἐλπίδα μελλήσεως	tout espoir de retard
καὶ διατριβῆς	et de délai
τῶν ἡγεμόνων (τῶν) περὶ αὐτὸν,	des officiers *étant* autour de lui,
ἔπηξε τὴν σκηνὴν ἑαυτοῦ	il planta la tente de soi
ἐπὶ τοῦ κλύσματος·	sur le bord-de-la-mer :
καὶ πνεύματος γενομένου,	et un souffle-de-vent étant venu,
ἐμβὰς ἀνήχθη	s'étant embarqué il partit
μετὰ τρισχιλίων πεζῶν	avec trois-mille fantassins
καὶ ὀλίγων ἱππέων.	et quelques cavaliers.
Ἀποβιβάσας δὲ τούτους	Puis ayant débarqué ceux-ci
καὶ λαθὼν,	et n'étant-pas-aperçu,
ἀνήχθη πάλιν,	il partit de nouveau,
ὀρρωδῶν	craignant
ὑπὲρ τῆς μείζονος δυνάμεως·	pour sa plus nombreuse armée :
καὶ προστυχὼν	et ayant rencontré *eux*
οὖσιν ἤδη κατὰ θάλατταν,	qui étaient déjà en mer,
κατήγαγεν ἅπαντας	il ramena *eux* tous

κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. Πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαῤῥεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκιπιώνων γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν εἴτ' ἐκφλαυρίζων ἐν παιδιᾷ τινι τὸν Σκιπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος (ἦν γὰρ καὶ παρ' αὐτῷ τις ἄνθρωπος, ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκιπίων ἐκαλεῖτο Σαλλουτίων), τοῦτον ἐν ταῖς μάχαις προέταττεν ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν. Ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος, οὔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύντες, ἐπάγειν τοὺς ἵππους. Οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς, ἑκάστοτε κατεῖχον τὴν χώραν. Καί ποτε τῶν Καίσαρος ἱππέων

sur sa route et l'amène dans son camp. Il apprit en arrivant que les ennemis avaient la plus grande confiance en un ancien oracle qui portait que la race des Scipions serait toujours victorieuse en Afrique. Il serait difficile de dire s'il se fit un jeu de tourner en ridicule Scipion, qui commandait les troupes ennemies, ou s'il voulut sérieusement s'approprier cet oracle; mais il prit dans son camp un homme obscur et méprisé, qui était de la famille des Scipions, et qui se nommait Scipion Sallution. Dans tous les combats, il le mettait à la tête de l'armée, comme s'il eût été le véritable général, et l'obligeait souvent de combattre contre les ennemis. César, ayant peu de vivres pour les hommes et peu de fourrages pour les chevaux, qu'il fallait nourrir avec de la mousse et de l'algue marine qu'on faisait macérer dans de l'eau douce, et à laquelle on mêlait du chiendent pour lui donner un peu de goût, était forcé d'en venir souvent aux mains avec l'ennemi, pour se procurer des provisions. Les Numides, peuple très-léger à la course, se montraient tous les jours en grand nombre et étaient maîtres de la campagne. Un jour que les cavaliers de César,

εἰς τὸ στρατόπεδον.	dans le camp.
Πυνθανόμενος δὲ	Mais apprenant
τοὺς πολεμίους	les ennemis
θαῤῥεῖν	s'encourager
τινὶ παλαιῷ χρησμῷ,	par un certain ancien oracle,
ὡς προσῆκον ἀεὶ	comme appartenant toujours
τῷ γένει Σκιπιώνων	à la race des Scipions
κρατεῖν ἐν Λιβύῃ,	de dominer en Lybie,
χαλεπὸν εἰπεῖν	*il est* difficile de dire
εἴτε ἐκφλαυρίζων	s'*il fit cela* ridiculisant
ἔν τινι παιδιᾷ	par quelque plaisanterie
τὸν Σκιπίωνα	le Scipion
στρατηγοῦντα τῶν πολεμίων,	qui commandait les ennemis,
εἴτε καὶ οἰκειούμενος	ou si s'appropriant
τὸν οἰωνὸν σπουδῇ	l'oracle sérieusement
(τὶς γὰρ ἄνθρωπος	(car un certain homme
ἦν καὶ παρὰ αὐτῷ,	était aussi auprès de lui,
ἄλλως μὲν εὐκαταφρόνητος	d'ailleurs certes méprisable
καὶ παρημελημένος,	et négligé,
τῆς δὲ οἰκίας Ἀφρικανῶν,	mais de la famille des Africains,
ἐκαλεῖτο Σκιπίων Σαλλουτίων),	il s'appelait Scipion Sallution),
προέταττε τοῦτον	il mit-en-avant celui-ci
ἐν ταῖς μάχαις	dans les combats
ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς,	comme commandant de l'armée,
ἀναγκαζόμενος πολλάκις	*le* forçant souvent
ἐξάπτεσθαι τῶν πολεμίων	d'attaquer les ennemis
καὶ φιλομαχεῖν.	et de combattre-en-téméraire.
Οὔτε γὰρ σῖτος	Car ni le blé
ἦν ἄφθονος τοῖς ἀνδράσιν,	*n'*était abondant aux hommes
οὔτε χιλὸς ὑποζυγίοις,	ni le fourrage aux bêtes-de-somme,
ἀλλὰ ἠναγκάζοντο	mais ils étaient forcés
ἐπάγειν τοὺς ἵππους	de conduire les chevaux
βρύοις θαλαττίοις,	dans des algues marines,
τῆς ἁλμυρίδος ἀποπλυθείσης,	l'eau-salée *en* étant ôtée,
παραμιγνύντες ὀλίγην ἄγρωστιν	mélangeant un peu de chiendent
ὥσπερ ἥδυσμα.	comme assaisonnement.
Οἱ γὰρ Νομάδες	Car les Numides
ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς,	se montrant nombreux et rapides,
κατεῖχον ἑκάστοτε τὴν χώραν.	occupaient partout le pays.
Καί ποτε τῶν ἱππέων Καίσαρος	Et un-jour les cavaliers de César

σχολὴν ἀγόντων (ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως· οἱ δὲ τερπόμενοι ἐκάθηντο τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες), ἐξαίφνης [δὲ] περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι, καὶ τοὺς μὲν αὐτοῦ κτείνουσι, τοῖς δ' εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. Εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίνιος βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. Ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι, συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος, ἀναστρέψαι καὶ εἰπεῖν· « Ἐνταῦθά εἰσιν οἱ πολέμιοι. »

LIII. Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκιπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δὲ Ἰόβαν, δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ, περὶ πόλιν Θάψον[1], ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. Πονουμένῳ δ' αὐτῷ περὶ

n'ayant rien à faire, s'amusaient à regarder un Africain qui dansait et jouait de la flûte à ravir; que, charmés de son talent, ils étaient assis à l'admirer et avaient laissé les chevaux à leurs valets, tout à coup les ennemis fondent sur eux, les enveloppent, tuent les uns, mettent les autres en fuite et les poursuivent jusqu'à leur camp, où ils entrent pêle-mêle avec eux. Si César et Pollion n'étaient sortis des retranchements pour courir à leur secours et les arrêter dans leur fuite, la guerre était ce jour-là terminée. Dans une seconde rencontre, où les ennemis eurent encore l'avantage, César, voyant l'enseigne qui portait l'aigle prendre la fuite, court à lui, le saisit au cou et le force de faire volte-face en lui disant : « C'est là qu'est l'ennemi. »

LIII. Ces succès enflèrent tellement Scipion qu'il résolut de risquer une bataille, et que, laissant d'un côté Afranius, de l'autre Juba, qui campaient séparément à peu de distance de lui, il plaça son camp au-dessus d'un lac près de la ville de Thapsus, et le fortifia pour servir d'arsenal et de retraite à ses troupes. Il était occupé de ce travail,

ἀγόντων σχολὴν	ayant du loisir
(ἀνὴρ γὰρ Λίβυς ἔτυχεν	(car un homme Lybien se trouva
ἐπιδεικνύμενος αὐτοῖς ὄρχησιν	montrant à eux une danse
καὶ ἅμα μοναυλῶν	et en-même-temps jouant-de-la-flûte
ἀξίως θαύματος·	d'une-manière-digne d'admiration :
οἱ δὲ τερπόμενοι ἐκάθηντο	et eux charmés étaient assis
ἐπιτρέψαντες τοὺς ἵππους	ayant confié les chevaux
τοῖς παισίν),	aux valets),
οἱ [δὲ] πολέμιοι ἐξαίφνης	[or] les ennemis tout-à-coup
περιελθόντες ἐμβάλλουσι,	étant accourus fondent-sur *eux*,
καὶ κτείνουσι τοὺς μὲν αὐτοῦ,	et tuent les uns là,
συνεισέπεσον δὲ εἰς τὸ στρατόπεδον	et se précipitèrent dans le camp
τοῖς ἐλαυνομένοις	avec les autres qui étaient poursuivis
προτροπάδην.	à-toutes-jambes.
Εἰ δὲ Καῖσαρ αὐτὸς,	Et si César lui-même,
ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίνιος	et avec César Pollion Asinius
βοηθοῦντες	portant secours *à eux*
ἐκ τοῦ χάρακος	du retranchement
μὴ ἔσχον τὴν φυγὴν,	n'avaient arrêté la fuite,
ὁ πόλεμος διεπέπρακτο ἄν.	la guerre aurait été achevée.
Ἔστι δὲ ὅτε καὶ	Mais il est que aussi
κατὰ ἑτέραν μάχην	dans un autre combat
οἱ πολέμιοι ἐπλεονέκτησαν,	les ennemis eurent-l'avantage,
συμπλοκῆς γενομένης,	une mêlée ayant eu-lieu,
ἐν ᾗ Καῖσαρ λέγεται	dans laquelle César est dit
κατασχὼν ἐκ τοῦ αὐχένος	ayant retenu par le cou
τὸν ἀετοφόρον φεύγοντα,	le porte-aigle qui fuyait,
ἀναστρέψαι καὶ εἰπεῖν·	*l'*avoir fait-retourner et avoir dit :
« Ἐνταῦθά εἰσιν οἱ πολέμιοι. »	« Là sont les ennemis. »
LIII. Σκιπίων μέντοι	LIII. Cependant Scipion
ἐπήρθη τούτοις τοῖς προτερήμασι	fut animé par ces avantages-ci
κριθῆναι μάχῃ·	à décider *l'affaire* par un combat :
καὶ καταλιπὼν	et ayant laissé
χωρὶς μὲν Ἀφράνιον,	separément d'une part Afranius,
χωρὶς δὲ Ἰόβαν,	séparément de l'autre Juba,
στρατοπεδεύοντας διὰ ὀλίγου,	qui campaient à une petite *distance*,
αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης	lui-même fit-bâtir au-dessus d'un lac
ἔρυμα τῷ στρατοπέδῳ,	un rempart pour son camp,
περὶ πόλιν Θάψον,	près de la ville de Thapsus,
ὡς ὁρμητήριον καὶ καταφυγὴ	afin que un arsenal et un refuge

ταῦτα, Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν, τοὺς μὲν ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλε κατὰ στόμα. Τρεψάμενος δὲ τούτους, ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης· ὑφ' ἧς αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου στρατόπεδον, αὐτοβοεὶ δὲ, φεύγοντος Ἰόβα, διεπόρθει τὸ τῶν Νομάδων· ἡμέρας δὲ μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς, καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. Οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλουσιν· οἱ δ' οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δ' εὐθὺς αἰσθόμενον ἀρχομένου, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίον πύργων κομισθῆναι, καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. Τῶν δὲ πεφευγότων

lorsque César, traversant avec une incroyable rapidité un pays marécageux et coupé de défilés, tombe sur ses soldats, prend les uns en queue, attaque les autres de front et les met tous en fuite. De là, saisissant l'occasion et profitant de sa fortune, il prend tout d'un trait le camp d'Afranius, enlève et pille celui des Numides, d'où Juba s'était retiré. Ainsi, dans la moindre partie d'un seul jour, il s'empare de trois camps et tue cinquante mille ennemis, sans avoir perdu cinquante des siens. Voilà le récit que quelques historiens font de cette bataille; d'autres prétendent que César ne fut pas présent à l'action; qu'au moment où il rangeait son armée en bataille et donnait ses ordres, il fut pris d'un accès d'épilepsie, maladie à laquelle il était sujet; que, lorsqu'il en sentit les premières atteintes, et qu'il était déjà saisi du tremblement, avant que la maladie lui eût entièrement ôté l'usage de ses sens et de ses forces, il se fit porter dans une des tours voisines, où il attendit en repos la fin de l'accès. D'un grand nombre d'hommes consulaires et prétoriens qui échap-

εἴη πᾶσιν ἐπὶ τὴν μάχην.	fussent à tous pour le combat.
Αὐτῷ δὲ πονουμένῳ περὶ ταῦτα	Mais lui s'occupant de ces *choses,*
Καῖσαρ διελθὼν	César ayant traversé
τάχει ἀμηχάνῳ	avec une vitesse inexplicable
τόπους ὑλώδεις	des lieux couverts-de-bois
καὶ ἔχοντας προσβολὰς ἀφράστους,	et qui avaient des débouchés cachés
ἐκυκλοῦτο τοὺς μὲν,	enveloppa les uns,
προσέβαλε δὲ τοῖς κατὰ στόμα.	et fondit sur les autres de front.
Τρεψάμενος δὲ τούτους,	Et ayant mis-en-fuite ceux-ci
ἐχρῆτο τῷ καιρῷ	il usa de l'occasion
καὶ τῇ ῥύμῃ τῆς τύχης	et de l'élan de la fortune
ὑπὸ ἧς ᾕρει μὲν αὐτοβοεὶ	grâce à laquelle il prit d'un-trait
τὸ στρατόπεδον Ἀφρανίου,	le camp d'Afranius,
αὐτοβοεὶ δὲ, Ἰόβα φεύγοντος,	d'un-trait aussi, Juba fuyant,
διεπόρθει τὸ τῶν Νομάδων·	il pilla celui des Numides :
μικρῷ δὲ μέρει μιᾶς ἡμέρας	et en une petite partie d'un seul jour
γενόμενος ἐγκρατὴς	devenu maître
τριῶν στρατοπέδων,	de trois camps,
καὶ ἀνῃρηκὼς	et ayant tué
πεντακισμυρίους τῶν πολεμίων,	cinquante-mille des ennemis,
οὐδὲ ἀπέβαλε πεντήκοντα	il ne perdit-pas-même cinquante
τῶν ἰδίων.	des *siens* propres.
Οἱ μὲν ἀναγγέλλουσι ταῦτα	Les uns rapportent ces *choses*
περὶ ἐκείνης τῆς μάχης·	sur ce combat-là :
οἱ δέ φασιν αὐτὸν	les autres disent lui
οὐ γενέσθαι ἐν τῷ ἔργῳ,	n'avoir pas été dans l'action,
τὸ δὲ νόσημα σύνηθες	mais la maladie habituelle
ἅψασθαι συντάττοντος	avoir saisi *lui* qui rangeait
καὶ διακοσμοῦντος τὴν στρατιάν·	et qui ordonnait son armée :
τὸν δὲ αἰσθόμενον	et lui s'*en* étant aperçu
εὐθὺς ἀρχομένου,	aussitôt *elle* commençant,
πρὶν τὴν αἴσθησιν ἐκταράττεσθαι	avant sa sensibilité être troublée
καὶ καταλαμβάνεσθαι παντάπασιν	et être saisie tout-à-fait
ὑπὸ τοῦ πάθους,	par le mal,
ἤδη σειόμενον κομισθῆναι	déjà agité s'être fait-porter
εἴς τινα τῶν πύργων πλησίον,	dans une des tours près,
καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ.	et être resté en repos.
Τῶν δὲ ἀνδρῶν ὑπατικῶν	Mais des hommes consulaire
καὶ στρατηγικῶν	et prétoriens
πεφευγότων ἐκ τῆς μάχης	qui avaient fui du combat

ἐκ τῆς μάχης ὑπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

LIV. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος, ἔσπευδε πρὸς Ἰτύκην[1]· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν, οὐ μετέσχε τοῦ ἀγῶνος. Πυθόμενος δ' ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθείς, ἐφ' ᾧ δ', ἄδηλον. Εἶπε δ' οὖν· «Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας.» Ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος οὐ δοκεῖ πράως ἔχοντος οὐδ' εὐδιαλλάκτως σημεῖον εἶναι. Πῶς γὰρ ἂν ἐφείσατο ζῶντος, εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; Τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτοῦ καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων ἐπιεικείᾳ τεκμαίρονται καὶ τὸν λόγον ἐκεῖνον οὐχ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίᾳ πολιτικῇ συντετάχθαι διὰ τοιαύτην αἰτίαν. Ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος, ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος

pèrent au carnage et qui furent faits prisonniers, les uns se tuèrent eux-mêmes, et César en fit mourir plusieurs.

LIV. Comme il avait le plus grand désir de prendre Caton vivant, il marcha promptement vers Utique : Caton, chargé de la défense de cette ville, ne s'était pas trouvé à la bataille. César apprit en chemin qu'il s'était donné lui-même la mort, et laissa voir toute la peine qu'il en ressentait; on ignore par quel motif; il dit seulement, quand on lui en donna la nouvelle : « O Caton, j'envie ta mort, puisque tu « m'as envié la gloire de te donner la vie! » Le traité qu'il écrivit contre Caton, après sa mort, n'est pas d'un homme adouci à son égard et qui fût disposé à lui pardonner. L'eût-il épargné vivant, s'il l'eût eu en sa puissance, lui qui versait sur Caton, mort depuis longtemps, tant de fiel et d'amertume? Il est vrai que la clémence dont il usa envers Cicéron, Brutus et mille autres qui avaient porté les armes contre lui, fait conjecturer qu'il aurait aussi pardonné à Caton, et que, s'il composa ce traité contre lui, ce fut moins par un sentiment de haine que par une rivalité politique : il le fit à l'occasion suivante. Cicéron avait composé l'éloge de Caton, et donné même le nom de ce célèbre Romain à cet ouvrage, qui, sorti de la plume du

οἱ μὲν ἁλισκόμενοι	les uns étant pris
διέφθειραν ἑαυτούς,	*se* tuèrent eux-mêmes,
Καῖσαρ δὲ ἔκτεινε συχνοὺς	et César *en* fit-périr plusieurs
ἁλόντας.	qui avaient été pris.
LIV. Φιλοτιμούμενος δὲ	LIV. Mais désirant-vivement
λαβεῖν Κάτωνα ζῶντα,	prendre Caton vivant,
ἔσπευδε πρὸς Ἰτύκην·	il se hâta vers Utique :
παραφυλάττων γὰρ	car *Caton* gardant
ἐκείνην τὴν πόλιν,	cette ville-là,
οὐ μετέσχε τοῦ ἀγῶνος.	n'avait pas-pris-part au combat.
Πυθόμενος δὲ ὡς ὁ ἀνὴρ	Or ayant appris que cet homme
διεργάσαιτο ἑαυτόν,	s'était tué lui-même,
ἦν μὲν δῆλος δηχθείς,	il était visible étant affligé,
ἐπὶ ᾧ δέ, ἄδηλον.	mais pourquoi, *la chose est* incertaine,
Εἶπε δὲ οὖν· « Ὦ Κάτων,	Il dit donc : « O Caton,
φθονῶ σοι τοῦ θανάτου·	j'envie à toi la mort :
καὶ γὰρ σὺ ἐφθόνησάς μοι	en effet tu as envié à moi
τῆς σωτηρίας. »	le salut. »
Ὁ μὲν οὖν λόγος	Certainement le traité
γραφεὶς μετὰ ταῦτα ὑπὸ αὐτοῦ	écrit après cela par lui
πρὸς Κάτωνα τεθνεῶτα	contre Caton mort
οὐ δοκεῖ εἶναι σημεῖον	ne semble pas être la preuve
ἔχοντος πρᾴως	*d'un homme* étant *disposé* doucement
οὐδὲ εὐδιαλλάκτως.	ni pacifiquement.
Πῶς γὰρ ἂν ἐφείσατο	Car comment eût-il épargné
ζῶντος,	*lui* vivant,
ἐκχέας τοσαύτην ὀργὴν	ayant versé tant de colère
εἰς ἀναίσθητον;	sur *lui* privé-de-sentiment?
Τῇ δὲ ἐπιεικείᾳ αὐτοῦ	Mais par la clémence de lui
πρὸς Κικέρωνα καὶ Βροῦτον	envers Cicéron et Brutus
καὶ μυρίους ἄλλους	et dix-mille autres
τῶν πεπολεμηκότων	de ceux *lui* ayant fait-la-guerre
τεκμαίρονται καὶ ἐκεῖνον λόγον	on conjecture ce traité-là aussi
συντετάχθαι οὐκ ἐξ ἀπεχθείας,	avoir été composé non par haine,
ἀλλὰ φιλοτιμίᾳ πολιτικῇ	mais par rivalité politique
διὰ τοιαύτην αἰτίαν.	à cause d'un tel motif.
Κικέρων ἔγραψεν	Cicéron avait écrit
ἐγκώμιον Κάτωνος,	un éloge de Caton,
θέμενος Κάτωνα	ayant mis Caton
ὄνομα τῷ λόγῳ·	*pour* titre à l'ouvrage ;

ἦν διὰ σπουδῆς, ὡς εἰκὸς, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. Τοῦτ' ἠνία Καίσαρα, κατηγορίαν αὐτοῦ νομίζοντα τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. Ἔγραψεν οὖν πολλάς τινας κατὰ τοῦ Κάτωνος αἰτίας συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. Καὶ σπουδαστὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα[1] πολλούς.

LV. Ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν, ὅση παρέξει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον σίτου μὲν εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ λιτρῶν μυριάδας τριακοσίας. Ἔπειτα θριάμβους κατήγαγε, τὸν Αἰγυπτιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκὸν, οὐκ ἀπὸ Σκιπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως[2]. Τότε καὶ Ἰόβας, υἱὸς ὢν ἐκείνου, κομιδῇ νήπιος, ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρου καὶ Νομάδος

plus grand orateur de Rome, et écrit sur un si beau sujet, était, comme on peut le croire, fort recherché. César en eut du chagrin; il regarda comme une censure indirecte de sa personne l'éloge d'un homme dont il avait occasionné la mort. Il composa donc un écrit dans lequel il entassa beaucoup de charges contre lui, et qu'il intitula Anti-Caton. Les noms de Caton et de César font encore aujourd'hui à ces deux ouvrages de zélés partisans.

LV. Dès que César fut de retour de son expédition d'Afrique, il fit une harangue au peuple, où il parla de sa victoire dans les termes les plus magnifiques; il dit que les pays dont il venait de faire la conquête étaient si étendus, que le peuple romain en tirerait tous les ans deux cent mille médimnes attiques de blé et trois millions de livres d'huile. Il triompha trois fois : la première pour l'Égypte, la seconde pour le Pont, et la troisième pour l'Afrique. Dans ce dernier triomphe, Scipion n'était pas nommé; il n'y était question que du roi Juba : le fils de ce prince, qui était encore dans l'enfance, suivit le char du triomphateur, et ce fut pour lui la captivité la plus heureuse. Né barbare et Numide, il dut à son malheur de devenir

καὶ ὁ λόγος ἦν διὰ σπουδῆς	et cet ouvrage était en vogue
πολλοῖς,	auprès de beaucoup *de gens*,
ὡς εἰκός,	comme *c'est* naturel,
πεποιημένος	ayant été composé
ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων	par le plus éloquent des orateurs
εἰς τὴν καλλίστην ὑπόθεσιν.	sur le plus beau sujet.
Τοῦτο ἠνία Καίσαρα,	Cela chagrinait César,
νομίζοντα τὸν ἔπαινον	qui regardait l'éloge
τοῦ τεθνηκότος διὰ αὐτὸν	de celui mort à cause de lui
κατηγορίαν	*comme* une accusation
αὑτοῦ.	contre lui-même.
Ἔγραψεν οὖν συναγαγὼν	Il écrivit donc ayant rassemblé
πολλάς τινας αἰτίας	beaucoup de griefs
κατὰ τοῦ Κάτωνος·	contre Caton :
τὸ δὲ βιβλίον	et le livre
ἐπιγέγραπται Ἀντικάτων.	fut intitulé Anti-Caton.
Καὶ ἑκάτερος τῶν λόγων	Et chacun des *deux* ouvrages
ἔχει σπουδαστὰς	a de zélés-partisans
διὰ Καίσαρα καὶ Κάτωνα.	à cause de César et de Caton.
LV. Ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν	LV. Cependant dès qu'il fut revenu
ἀπὸ Λιβύης εἰς Ῥώμην,	de Libye à Rome,
πρῶτον μὲν ἐμεγαληγόρησε	d'abord il parla-magnifiquement
πρὸς τὸν δῆμον ὑπὲρ τῆς νίκης,	au peuple sur sa victoire,
ὡς κεχειρωμένος χώραν τοσαύτην,	comme ayant soumis un pays si [grand,
ὅση παρέξει κατὰ ἕκαστον ἐνιαυτὸν	qu'il fournira par chaque année
εἰς τὸ δημόσιον	à la république
εἴκοσι μὲν μυριάδας	d'une part vingt myriades
μεδίμνων Ἀττικῶν σίτου,	de médimnes attiques de blé,
τριακοσίας δὲ μυριάδας	et de l'autre trois-cents myriades
λιτρῶν ἐλαίου.	de livres d'huile.
Ἔπειτα κατήγαγε θριάμβους,	Ensuite il conduisit des triomphes,
τὸν Αἰγυπτιακόν, τὸν Ποντικόν,	l'un d'-Égypte, l'autre du-Pont,
τὸν Λιβυκόν, οὐκ ἀπὸ Σκιπίωνος,	l'autre de-Libye, non sur Scipion,
ἀλλὰ δῆθεν ἀπὸ τοῦ βασιλέως Ἰόβα.	mais certes sur le roi Juba.
Τότε καὶ Ἰόβας,	Alors aussi Juba,
ὢν υἱὸς ἐκείνου,	qui était fils de celui-là,
κομιδῇ νήπιος,	tout-à-fait enfant,
παρήχθη ἐν τῷ θριάμβῳ,	fut mené dans le triomphe,
ἁλοὺς	ayant été pris
ἅλωσιν μακαριωτάτην,	par la prise la plus heureuse

Ἑλλήνων τοῖς πολυμαθεστάτοις ἐναρίθμιος γενέσθαι συγγραφεῦσι. Μετὰ δὲ τοὺς θριάμβους στρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου, καὶ τὸν δῆμον ἀνελάμβανεν ἑστιάσεσι καὶ θέαις· ἑστιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. Μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων, ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων ἐξητάσθησαν αἱ πᾶσαι πεντεκαίδεκα. Τηλικαύτην ἡ στάσις ἀπειργάσατο συμφορὰν καὶ τοσοῦτον ἀπανάλωσε τοῦ δήμου μέρος· ἔξω λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

LVI. Συντελεσθέντων δὲ τούτων, ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον, εἰς Ἰϐηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηΐου παῖδας,

un des plus savants historiens grecs. Après ses triomphes, César fit de grandes largesses à ses soldats et donna des festins et des spectacles à tout le peuple, qu'il traita sur vingt-deux mille tables de trois lits chacune. Il fit représenter en l'honneur de sa fille Julie, morte depuis longtemps, des combats de gladiateurs et des naumachies. Quand tous ces spectacles furent terminés, on fit le dénombrement du peuple, et, au lieu de trois cent vingt mille citoyens qu'avait donnés le dernier dénombrement, il ne s'en trouva que cent cinquante mille, tant la guerre civile avait été meurtrière pour Rome ! tant elle avait moissonné de citoyens, sans compter tous les fléaux dont elle avait affligé le reste de l'Italie et toutes les provinces !

LVI. Après ce dénombrement, César, nommé consul pour la quatrième fois, partit sur-le-champ pour aller en Espagne faire la guerre

γενέσθαι	*au point* d'être devenu
ἐκ βαρβάρου καὶ Νομάδος	de barbare et Numide
ἐναρίθμιος τοῖς συγγραφεῦσι	compté parmi les historiens
πολυμαθεστάτοις τῶν Ἑλλήνων.	les plus instruits des Grecs.
Μετὰ δὲ τοὺς θριάμβους	Mais après les triomphes
ἐδίδου τε στρατιώταις	*César* et donna aux soldats
μεγάλας δωρεάς,	de grands présents,
καὶ ἀνελάμβανε τὸν δῆμον	et gagna le peuple
ἑστιάσεσι καὶ θέαις·	par des festins et des spectacles
ἑστιάσας μὲν	d'une part ayant traité
σύμπαντας ὁμοῦ	tous *les citoyens* ensemble
ἐν δισμυρίοις	sur vingt-mille
καὶ δισχιλίοις τρικλίνοις,	et deux-mille tables-à-trois-lits,
παρασχὼν δὲ θέας	de l'autre ayant donné des spectacles
ἀνδρῶν καὶ μονομάχων	d'hommes et de gladiateurs
καὶ ναυμάχων	et de combattants-sur-l'eau
ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ	à l'occasion de sa fille Julie
τεθνεώσῃ πάλαι.	morte depuis longtemps.
Μετὰ δὲ τὰς θέας	Et après les spectacles
τιμήσεων γενομένων,	un dénombrement ayant eu-lieu,
ἀντὶ	à la place
τῶν τριάκοντα καὶ δυεῖν μυριάδων	des trente-deux myriades
προτέρων,	antérieures,
πεντεκαίδεκα αἱ πᾶσαι	quinze en-tout
ἐξητάσθησαν.	furent recensées.
Ἡ στάσις ἀπειργάσατο	La dissension produisit
τηλικαύτην συμφορὰν	un si grand malheur
καὶ ἀπανάλωσε	et consuma
τοσοῦτον μέρος τοῦ δήμου·	une si grande partie du peuple :
τιθεμένοις	*ainsi est-il* pour ceux qui mettent
ἔξω λόγου	hors de compte
τὰ ἀτυχήματα κατασχόντα	les malheurs qui remplirent
τὴν ἄλλην Ἰταλίαν	le reste de l'Italie
καὶ τὰς ἐπαρχίας.	et les provinces.
LVI. Τούτων δὲ	LVI. Mais ces *choses*
συντελεσθέντων,	étant accomplies,
ἀποδειχθεὶς ὕπατος	*César* nommé consul
τὸ τέταρτον,	pour la quatrième *fois*,
ἐστράτευσεν εἰς Ἰβηρίαν	fit-une-expédition en Espagne
ἐπὶ τοὺς παῖδας Πομπηΐου.	contre les fils de Pompée,

νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει στρατιὰν συνειλοχότας[1], καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ Καίσαρι περιστῆσαι τὸν ἔσχατον. Ἡ δὲ μεγάλη μάχη περὶ πόλιν συνέστη Μοῦνδαν[2], ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ καὶ κακῶς ἀντέχοντας, ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται, λαβόντας αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις[3]. Μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρε, τῶν δ' αὑτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. Ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. Ταύτην τὴν μάχην ἐνίκησε τῇ τῶν Διονυσίων ἑορτῇ[4], καθ' ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθε. Τῶν δὲ Πομπηΐου παίδων ὁ μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας Δείδιος ἀνήνεγκε τὴν

aux fils de Pompée. Malgré leur jeunesse, ils avaient mis sur pied une armée formidable par le nombre des soldats, et ils montraient une audace qui les rendait dignes du commandement; aussi mirent-ils César dans le plus grand danger. Ils livrèrent, sous les murs de la ville de Munda, une grande bataille dans laquelle César voyant ses troupes, vivement pressées, n'opposer aux ennemis qu'une faible résistance, se jeta au fort de la mêlée en criant à ses soldats de le livrer eux-mêmes aux mains de ces enfants, s'ils n'avaient pas de honte. Ce ne fut que par des efforts extraordinaires qu'il parvint à repousser les ennemis; il leur tua plus de trente mille hommes et perdit mille des siens, qui étaient les plus braves de l'armée. En rentrant dans son camp, après la bataille, il dit à ses amis qu'il avait souvent combattu pour la victoire, mais qu'il venait de combattre pour la vie. Il remporta cette victoire le jour de la fête des Dionysiaques, le même jour que Pompée, quatre ans auparavant, était sorti de Rome pour cette guerre civile. Le plus jeune des fils de Pompée se sauva de la bataille, et peu de jours après Didius vint mettre aux pieds de César la tête de l'aîné. Ce fut la dernière guerre de

ὄντας μὲν ἔτι νέους,	qui étaient il-est-vrai encore jeunes,
συνειλοχότας δὲ στρατιὰν	mais qui avaient rassemblé une armée
θαυμαστὴν τῷ πλήθει,	étonnante par le nombre,
καὶ ἀποδεικνυμένους	et qui montraient
τόλμαν ἀξιόχρεων	une audace remarquable
πρὸς ἡγεμονίαν,	pour le commandement,
ὥστε περιστῆσαι τῷ Καίσαρι	au point d'avoir suscité à César
τὸν ἔσχατον κίνδυνον.	un extrême péril.
Ἡ δὲ μεγάλη μάχη	Or la grande bataille
συνέστη περὶ πόλιν Μοῦνδαν,	se livra près de la ville de Munda,
ἐν ᾗ Καῖσαρ ὁρῶν	dans laquelle *bataille* César voyant
τοὺς ἑαυτοῦ ἐκθλιβομένους	les *gens* de lui pressés
καὶ ἀντέχοντας κακῶς,	et résistant mal,
ἐβόα διαθέων	cria *en* courant
διὰ τῶν ὅπλων καὶ τῶν τάξεων,	à travers les armes et les rangs,
εἰ αἰδοῦνται μηδὲν,	s'ils *n*'ont-honte de rien,
λαβόντας αὐτὸν	*eux* ayant saisi lui
ἐγχειρίσαι τοῖς παιδαρίοις.	de *le* livrer à ces faibles-enfants.
Ὠσάμενος δὲ τοὺς πολεμίους	Et ayant repoussé les ennemis
μόλις πολλῇ προθυμίᾳ,	avec-peine par beaucoup d'ardeur,
διέφθειρε μὲν	d'une part il tua
ὑπὲρ τρισμυρίους ἐκείνων,	au-delà de trente-mille de ceux-là,
ἀπώλεσε δὲ τῶν αὑτοῦ	de l'autre il perdit de ceux de lui
χιλίους τοὺς ἀρίστους.	mille les plus braves.
Ἀπιὼν δὲ μετὰ τὴν μάχην	Et s'en-allant après le combat
εἶπε πρὸς τοὺς φίλους,	il dit à ses amis,
ὡς πολλάκις μὲν	que souvent certes
ἀγωνίσαιτο περὶ νίκης,	il avait combattu pour la victoire,
νῦν δὲ πρῶτον	mais maintenant la première *fois*
περὶ ψυχῆς.	pour la vie.
Ἐνίκησε μὲν ταύτην τὴν μάχην	Or il vainquit dans ce combat
τῇ ἑορτῇ τῶν Διονυσίων,	à la fête des Dionysiaques,
κατὰ ἣν καὶ Πομπήϊος Μάγνος	dans laquelle aussi Pompée le Grand
λέγεται ἐξελθεῖν	est dit être parti
ἐπὶ τὸν πόλεμον·	pour la guerre :
διὰ μέσου δὲ διῆλθε	mais dans l'intervalle s'écoula
χρόνος τεσσάρων ἐνιαυτῶν.	un temps de quatre ans.
Τῶν δὲ παίδων Πομπηΐου	Or des fils de Pompée
ὁ μὲν νεώτερος διέφυγε,	le plus jeune il-est-vrai échappa,
Δείδιος δὲ μετὰ ὀλίγας ἡμέρας	mais Didius après peu de jours

κεφαλήν. Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δ' ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. Οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας, οὐδὲ βαρβάρους βασιλεῖς κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου, τύχαις κεχρημένου, παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία τὸ μετ' ἀνάγκης πεπρᾶχθαι· καὶ ταῦτα πρότερον μήτ' ἄγγελον μήτε γράμματα δημοσίᾳ πέμψαντα περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλ' ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.

LVII. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες, καὶ δεδεγμένοι τὸν χαλινὸν, καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτωρα μὲν

César, et le triomphe qui la suivit affligea plus les Romains que tout ce qu'il avait pu faire précédemment; c'était, non pour ses victoires sur des généraux étrangers ou sur des rois barbares qu'il triomphait, mais pour avoir détruit et éteint la race du plus grand homme que Rome eût produit, et qui avait été la victime des caprices de la fortune. On ne lui pardonnait pas de triompher ainsi des malheurs de sa patrie, et de se glorifier d'un succès que la nécessité seule pouvait excuser et devant les dieux et devant les hommes, d'autant que jusqu'alors il n'avait jamais ni envoyé de courriers, ni écrit de lettres au sénat pour annoncer les victoires qu'il avait remportées dans les guerres civiles; il avait toujours paru rejeter une gloire dont il était honteux.

LVII. Cependant les Romains pliaient sous l'ascendant de sa fortune et se soumettaient au frein sans résistance : persuadés même qu'ils ne pourraient se relever de tous les maux qu'avaient causés les guerres civiles que sous l'autorité d'un seul, ils le nommèrent dicta-

ἀνήνεγκε τὴν κεφαλὴν	rapporta la tête
τοῦ πρεσβυτέρου.	de l'aîné.
Καῖσαρ ἐπολέμησε	César guerroya
τοῦτον τὸν πόλεμον ἔσχατον·	cette guerre la dernière :
ὁ δὲ θρίαμβος καταχθεὶς ἀπὸ αὐτοῦ	mais le triomphe mené après elle
ἠνίασε Ῥωμαίους,	chagrina les Romains,
ὡς οὐδὲν ἄλλο.	comme aucune autre *chose*.
Οὐ γὰρ εἶχε καλῶς	Car il n'était pas bien
οὐ κατηγωνισμένον	*celui* n'ayant pas combattu
ἡγεμόνας ἀλλοφύλους,	des généraux étrangers,
οὐδὲ βασιλεῖς βαρβάρους,	ni des rois barbares,
ἀνῃρηκότα δὲ ἄρδην	mais ayant exterminé entièrement
παῖδας καὶ γένος	les enfants et la race
ἀνδρὸς	d'un homme
κρατίστου Ῥωμαίων,	le plus puissant des Romains,
κεχρημένου	qui avait éprouvé
τύχαις	les chances-de-la-fortune
ἐπιπομπεύειν	triompher
ταῖς συμφοραῖς τῆς πατρίδος,	des malheurs de la patrie,
ἀγαλλόμενον ἐπὶ τούτοις,	se faisant-gloire de ces *choses*,
ὧν μία ἀπολογία	desquelles la seule apologie
καὶ πρὸς θεοὺς	et devant les dieux
καὶ πρὸς ἀνθρώπους	et devant les hommes
τὸ πεπρᾶχθαι μετὰ ἀνάγκης·	*est* d'avoir été faites par nécessité :
καὶ ταῦτα	et cela
πέμψαντα πρότερον	*lui* qui *n*'avait envoyé auparavant
δημοσίᾳ	publiquement
μήτε ἄγγελον μήτε γράμματα	ni courrier ni lettres
περὶ νίκης	sur une victoire
ἀπὸ τῶν πολέμων ἐμφυλίων,	de guerres civiles,
ἀλλὰ ἀπωσάμενον	mais qui avait rejeté
τὴν δόξαν αἰσχύνῃ.	cette gloire par honte.
LVII. Οὐ μὴν ἀλλὰ	LVII. Cependant
καὶ ἐγκεκλικότες	et courbés
πρὸς τὴν τύχην τοῦ ἀνδρὸς,	sous la fortune de cet homme,
καὶ δεδεγμένοι τὸν χαλινὸν,	et ayant reçu le frein,
καὶ ἡγούμενοι τὴν μοναρχίαν	et pensant le pouvoir-d'un-seul
ἀναπνοὴν τῶν πολέμων	*être* un moyen-de-respirer des guerres
καὶ κακῶν ἐμφυλίων,	et des malheurs civils,
ἀπέδειξαν μὲν αὐτὸν	*les Romains* nommèrent lui

αὐτὸν ἀπέδειξαν διὰ βίου. Τοῦτο ἦν ὁμολογουμένη μὲν τυραννὶς τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης. Τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἀμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς, καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους, ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι, διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. Οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. Ἐπεὶ τά γ' ἄλλα, τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον παρεῖχε· καὶ τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ πρᾳότητι ψηφίσασθαι. Καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ τιμὰς καὶ ἀρχὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι.

teur à vie. C'était reconnaître ouvertement la tyrannie, puisqu'à l'autorité absolue et indépendante de la monarchie on ajoutait l'assurance de la posséder toujours. Les premiers honneurs que Cicéron avait proposé au sénat de lui décerner étaient dans les bornes d'une grandeur humaine; mais d'autres y en ajoutèrent de si immodérés, en se disputant à l'envi à qui lui en prodiguerait le plus, que, par ces distinctions excessives et déplacées, ils le rendirent odieux et insupportable aux personnes même du naturel le plus doux. Aussi croit-on que ses ennemis ne contribuèrent pas moins que ses flatteurs à les lui faire décerner, pour se préparer plus de prétextes de l'attaquer un jour, et paraître avoir contre lui les griefs les plus considérables; car il faut avouer que, les guerres civiles une fois terminées, il se montra depuis irréprochable dans sa conduite. Ce fut donc une justice que les Romains lui rendirent, lorsqu'ils ordonnèrent que, pour consacrer sa douceur dans la victoire, on bâtirait en son honneur un temple à la Clémence. En effet, il avait pardonné à la plupart de ceux qui avaient porté les armes contre lui; il donna même à quelques-uns d'entre eux des dignités et des emplois, en particulier à Brutus et à Cassius, qu'il nomma tous deux préteurs. Il ne vit pas

δικτάτωρα διὰ βίου.	dictateur à vie.
Τοῦτο ἦν τυραννὶς ὁμολογουμένη	Cela était une tyrannie avouée,
τῆς μοναρχίας προσλαβούσης	ce pouvoir-d'un-seul ajoutant
τὸ ἀκατάπαυστον τῷ ἀνυπευθύνῳ.	la perpétuité à l'irresponsabilité.
Κικέρωνος δὲ γράψαντος	Mais Cicéron ayant proposé
εἰς τὴν βουλὴν	devant le sénat
τὰς πρώτας τιμὰς,	les premiers honneurs,
ὧν ἁμωσγέπως	desquels en-quelque-sorte
τὸ μέγεθος ἦν ἀνθρώπινον,	la grandeur était humaine,
ἕτεροι προστιθέντες ὑπερβολὰς,	d'autres ajoutant des exagérations,
καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους,	et rivalisant les-uns-avec-les-autres,
ἐξειργάσαντο τὸν ἄνδρα	firent cet homme (*César*)
γενέσθαι ἐπαχθῆ καὶ λυπηρὸν	devenir odieux et fâcheux
καὶ τοῖς πρᾳοτάτοις,	même aux plus modérés,
διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν	par l'excès et l'étrangeté
τῶν ψηφιζομένων.	des *honneurs* décernés.
Οἷς οἴονται	Auxquels on pense
τοὺς μισοῦντας Καίσαρα	ceux haïssant César
οὐδὲν συναγωνίσασθαι ἧττον	n'avoir pas travaillé moins
τῶν κολακευόντων,	*que* ceux flattant *lui*,
ὅπως ἔχωσι κατὰ αὐτοῦ	afin qu'ils eussent contre lui
ὅτι πλείστας προφάσεις	les plus nombreux prétextes
καὶ δοκῶσιν ἐπιχειρεῖν	et *qu*'ils parussent *l*'attaquer
μετὰ μεγίστων ἐγκλημάτων.	avec les plus grands griefs. [*choses*
Ἐπεί γε τὰ ἄλλα	Puisque du moins, pour les autres
παρεῖχεν ἀνέγκλητον,	il *se* montrait irréprehensible,
τῶν πολέμων ἐμφυλίων	les guerres civiles
ἐσχηκότων πέρας αὐτῷ·	ayant eu fin par lui :
καί γε δοκοῦσι	et certes *les Romains* semblent
ψηφίσασθαι οὐκ ἀπὸ τρόπου	avoir décrété non contre la raison
τὸ ἱερὸν τῆς Ἐπιεικείας	le temple de la Clémence
χαριστήριον	*comme* marque-de-reconnaissance
ἐπὶ τῇ πρᾳότητι.	pour sa modération.
Καὶ γὰρ ἀφῆκε πολλοὺς	En effet il laissa *impunis* plusieurs
τῶν πεπολεμηκότων	de ceux qui avaient-fait-la-guerre
πρὸς αὐτὸν,	à lui,
προσέθηκε δὲ ἐνίοις,	il ajouta même à quelques-uns,
ὡς Βρούτῳ καὶ Κασσίῳ,	comme à Brutus et à Cassius,
καὶ τιμὰς καὶ ἀρχάς·	et des honneurs et des dignités :
ἀμφότεροι γὰρ ἐστρατήγουν.	car tous-deux furent-préteurs.

Καὶ τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν· ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ τοὺς Πομπηΐου στήσας ἀνδριάντας τοὺς ἰδίους ἔπηξε. Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι, καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς, οὐχ ὑπέμεινεν, εἰπὼν ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν. Τὴν δ' εὔνοιαν ὡς κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις· ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν· αἷς καὶ πρότερον τὴν ἅλωσιν, καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.

LVIII. Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς τοὐπιὸν ἐπηγγέλλετο, τοὺς δ' ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο, πᾶσι δ' ἐλπίζειν ἐνεδίδου μνηστευόμενος ἄρχειν ἑκόντων· ὡς καὶ Μαξίμου τοῦ ὑπάτου τελευτήσαντος, εἰς τὴν

même avec indifférence qu'on eût abattu les statues de Pompée, mais il les fit relever. « César, dit à ce sujet Cicéron, en relevant les statues de Pompée, a affermi les siennes. » Ses amis lui conseillaient de prendre des gardes pour sa sûreté, et plusieurs même d'entre eux s'offraient à lui en servir. Il le refusa constamment, et leur dit qu'il valait mieux mourir une fois que de craindre continuellement la mort; mais, persuadé que l'affection du peuple était la garde la plus honorable et la plus sûre dont il pût s'entourer, il s'appliqua de nouveau à gagner les citoyens par des repas publics, par des distributions de blé, et les soldats par l'établissement de nouvelles colonies. Les plus considérables furent Corinthe et Carthage : ainsi ces deux villes, qui avaient été prises et détruites en même temps, furent aussi rétablies et repeuplées ensemble.

LVIII. Il s'attira la bienveillance des grands en promettant aux uns des consulats et des prétures, en consolant les autres de leurs pertes par des charges et des honneurs, en donnant enfin à tous les plus belles espérances, et cherchant par là à rendre la soumission volontaire. Le consul Fabius Maximus étant mort la veille de l'expi-

Καὶ οὐ περιεῖδεν,
ἀλλὰ ἀνέστησε
τὰς εἰκόνας Πομπηΐου
καταβεβλημένας·
ἐπὶ ὧν καὶ Κικέρων εἶπεν,
ὅτι Καῖσαρ στήσας
τοὺς ἀνδριάντας Πομπηΐου
ἔπηξε τοὺς ἰδίους.
Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν
δορυφορεῖσθαι, καὶ πολλῶν
παρεχόντων ἑαυτοὺς ἐπὶ τοῦτο,
οὐχ ὑπέμεινεν,
εἰπὼν ὡς ἐστι βέλτιον
ἀποθανεῖν ἅπαξ
ἢ προσδοκᾷν ἀεί.
Περιβαλλόμενος δὲ ἑαυτῷ
τὴν εὔνοιαν ὡς φυλακτήριον
κάλλιστον ἅμα καὶ βεβαιότατον,
αὖθις ἀνελάμβανε τὸν δῆμον
ἑστιάσεσι
καὶ σιτηρεσίοις,
τὸ δὲ στρατιωτικὸν ἀποικίαις·
ὧν ἐπιφανέσταται
ἦσαν Καρχηδὼν καὶ Κόρινθος·
αἷς ἀμφοτέραις συνέτυχε
καὶ πρότερον τὴν ἅλωσιν,
καὶ τότε τὴν ἀνάληψιν
γενέσθαι ἅμα
καὶ κατὰ τὸν αὐτὸν χρόνον.
LVIII. Ἐπηγγέλλετο δὲ
τοῖς μὲν τῶν δυνατῶν
ὑπατείας
καὶ στρατηγίας εἰς τὸ ἐπιὸν,
παρεμυθεῖτο δὲ τοὺς
τισὶν ἄλλαις ἐξουσίαις
καὶ τιμαῖς,
ἐνεδίδου δὲ πᾶσιν ἐλπίζειν
μνηστευόμενος ἄρχειν
ἑκόντων·
ὡς καὶ τοῦ ὑπάτου Μαξίμου

Et il ne négligea pas,
mais releva
les statues de Pompée
qui étaient renversées :
sur lesquelles même Cicéron dit
que César ayant relevé
les statues de Pompée
avait affermi les *siennes* propres.
Mais ses amis conseillant à lui
de s'entourer-de-gardes, et beaucoup
s'offrant eux-mêmes pour cela,
il ne *le* souffrit pas,
disant qu'il est meilleur
de mourir une-fois
que d'attendre toujours.
Mais mettant-autour de soi-même
la bienveillance comme garde
la plus belle à-la-fois et la plus ferme,
de nouveau il gagnait le peuple
par des festins
et des distributions-de-vivres,
et l'armée par des colonies :
desquelles les plus remarquables
furent Carthage et Corinthe :
auxquelles toutes-deux il arriva
et antérieurement la prise
et alors le rétablissement
avoir eu-lieu ensemble
et dans le même temps.
LVIII. D'un autre côté il promettait
aux uns des puissants
des consulats
et des prétures pour l'avenir,
et consolait les autres
par quelques autres charges
et honneurs,
et donnait à tous d'espérer
aspirant à gouverner
des *hommes* de-bonne-volonté :
au point même, le consul Maximus

περιοῦσαν ἔτι τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξα Κανίνιον Ῥεβίλιον. Πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων, ὁ Κικέρων· «Σπεύδωμεν, ἔφη, πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος.» Ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα, μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων καὶ καινῆς ἔρωτα δόξης, ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ· τὸ μὲν πάθος οὐδὲν ἦν ἕτερον ἢ ζῆλος αὑτοῦ, καθάπερ ἄλλου, καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα· παρασκευὴ δὲ καὶ γνώμη στρατεύειν μὲν ἐπὶ Πάρθους, καταστρεψαμένῳ δὲ τούτους καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν[1] καὶ τὸν Καύκασον[2] ἐκπεριελθόντι τὸν Πόντον εἰς τὴν

ration de son consulat, César nomma Caninius Rébilius consul pour le seul jour qui restait; et comme on allait en foule, suivant l'usage, chez le nouveau consul pour le féliciter et l'accompagner au sénat, Cicéron dit plaisamment : « Hâtons-nous d'y aller, de peur qu'il ne « sorte de charge avant d'avoir pu recevoir notre compliment. » César se sentait né pour les grandes entreprises; et, loin que ses nombreux exploits lui fissent désirer la jouissance paisible du fruit de ses travaux, ils lui inspirèrent au contraire de plus vastes projets; et flétrissant, pour ainsi dire, à ses yeux la gloire qu'il avait acquise, ils allumèrent en lui l'amour d'une gloire plus grande encore. Cette passion n'était qu'une sorte de jalousie contre lui-même, telle qu'il aurait pu en avoir à l'égard d'un étranger; qu'une rivalité de surpasser ses exploits précédents par ceux qu'il projetait pour l'avenir. Il avait formé le dessein de porter la guerre chez les Parthes, et il en faisait déjà les préparatifs. Il se proposait, après les avoir domptés, de traverser l'Hyrcanie le long de la mer Caspienne et du mont Caucase,

τελευτήσαντος,
ἀποδεῖξαι ὕπατον
Κανίνιον Ῥεβίλιον
εἰς τὴν μίαν ἡμέραν
περιοῦσαν ἔτι τῆς ἀρχῆς.
Πρὸς ὃν πολλῶν βαδιζόντων,
ὡς ἔοικε,
δεξιώσασθαι καὶ προπέμψαι,
ὁ Κικέρων· « Σπεύδωμεν, ἔφη,
πρὶν ὁ ἄνθρωπος
φθάσῃ
ἐξελθὼν τῆς ὑπατείας. »
Ἐπεὶ δὲ αἱ πολλαὶ κατορθώσεις
οὐκ ἔτρεπον πρὸς ἀπόλαυσιν
τῶν πεπονημένων
τὸ αὐτοῦ φύσει
μεγαλουργὸν καὶ φιλότιμον,
ἀλλὰ οὖσαι ὑπέκκαυμα
καὶ θάρσος
πρὸς τὰ μέλλοντα,
ἐνέτικτον ἐπινοίας
μειζόνων πραγμάτων
καὶ ἔρωτα καινῆς δόξης,
ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ·
τὸ μὲν πάθος ἦν οὐδὲν ἕτερον
ἢ ζῆλος αὑτοῦ,
καθάπερ ἄλλου,
καί τις φιλονεικία
ὑπὲρ τῶν μελλόντων
πρὸς τὰ πεπραγμένα·
παρασκευὴ δὲ
καὶ γνώμη
στρατεύειν μὲν
ἐπὶ Πάρθους,
καταστρεψαμένῳ δὲ τούτους
καὶ ἐκπεριελθόντι τὸν Πόντον
διὰ Ὑρκανίας
παρὰ τὴν θάλασσαν Κασπίαν
καὶ τὸν Καύκασον
ἐμβάλλειν εἰς τὴν Σκυθικήν·

étant mort,
lui avoir nommé consul
Caninius Rébilius
pour le seul jour
qui restait encore de cette charge.
Vers lequel plusieurs se rendant,
comme il convient,
pour *le* féliciter et *l'*accompagner,
Cicéron : « Hâtons-nous, dit-il,
avant que l'homme
ne nous ait prévenus
étant sorti du consulat. »
Mais comme les nombreux succès
ne tournaient pas vers la jouissance
des *choses* faites-à-force-de-travaux
le *caractère* de lui de nature
entreprenant et ambitieux,
mais étant un aiguillon
et un encouragement
aux *choses* futures,
engendraient-en *lui* des pensées
de plus grandes affaires
et le désir d'une nouvelle gloire,
comme ayant trop-usé de la présente :
sa passion *n'*était rien autre *chose*
qu'une jalousie contre lui-même,
comme *contre* un autre,
et une certaine rivalité
en faveur des *choses* devant être
eu égard aux *choses* faites :
mais ses préparatifs
et son dessein *étaient*
d'abord de faire-une-expédition
contre les Parthes,
puis *à lui* ayant soumis ceux-*ci*
et ayant tourné le Pont
par l'Hyrcanie
le long de la mer Caspienne
et du Caucase
de se jeter sur la Scythie :

Σκυθικὴν ἐμβαλεῖν· καὶ τὰ περίχωρα Γερμανοῖς καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι, διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. Διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορινθίων Ἰσθμὸν ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν ἐπὶ τούτῳ προχειρισάμενος· καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ, καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον[1], ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνῃ[2] θάλατταν, ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην τοῖς δι' ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμέντιον[3] καὶ Σήτιον ἐκτρέψας πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι· τῇ δ' ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα διὰ χωμάτων ἐπαγαγὼν καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος λιμένας

de se jeter ensuite dans la Scythie, de soumettre tous les pays voisins de la Germanie, et la Germanie même; de revenir enfin en Italie par les Gaules, après avoir arrondi l'empire romain, qui aurait été ainsi de tous côtés borné par l'Océan. Pendant qu'il préparait cette expédition, il songeait à couper l'isthme de Corinthe; il avait même chargé Aniénus de cette entreprise et de celle de creuser un canal profond qui commencerait à Rome même, et irait jusqu'à Circéum, pour conduire le Tibre dans la mer de Terracine, et ouvrir au commerce une route plus commode et plus sûre jusqu'à Rome. Il voulait aussi dessécher les marais voisins de Pométium et de Sétium, et changer les terres qu'ils inondaient en des campagnes fertiles qui fourniraient du blé à des milliers de cultivateurs. Il avait enfin le projet d'opposer des barrières à la mer la plus voisine de Rome, en élevant sur ses bords de fortes digues; et, après avoir nettoyé la rade d'Ostie, que des rochers couverts par les eaux rendaient périlleuse pour les navigateurs, d'y construire des ports et des arsenaux

καὶ ἐπιδραμόντι	et ayant envahi
τὰ περίχωρα Γερμανοῖς	les *contrées* voisines des Germains
καὶ Γερμανίαν αὐτὴν,	et la Germanie elle-même,
ἐπανελθεῖν διὰ Κελτῶν	de revenir par chez les Gaulois
εἰς Ἰταλίαν	en Italie
καὶ συνάψαι τοῦτον τὸν κύκλον	et de resserrer ce cercle
τῆς ἡγεμονίας περιορισθείσης	de l'empire qui aurait été borné
πανταχόθεν τῷ Ὠκεανῷ.	de-tous-côtés par l'Océan.
Διὰ μέσου δὲ	Mais dans l'intervalle
τῆς στρατείας	de cette expédition
ἐπεχείρει διασκάπτειν τε	il entreprenait et de creuser
τὸν Ἰσθμὸν Κορινθίων,	l'Isthme des Corinthiens,
προχειρισάμενος	ayant désigné
ἐπὶ τούτῳ Ἀνιηνόν·	pour cela Aniénus :
καὶ ὑπολαβὼν διώρυχι βαθείᾳ	et ayant reçu dans un fossé profond
τὸν Τίβεριν	le Tibre
εὐθὺς ἀπὸ τῆς πόλεως,	immédiatement hors de la ville,
καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον	et *l'*ayant courbé jusqu'à Circéum
ἐμβαλεῖν εἰς τὴν θάλατταν	de *le* jeter dans la mer
πρὸς Ταῤῥακίνῃ,	à Terracine,
μηχανώμενος ἀσφάλειαν	procurant sûreté
ἅμα καὶ ῥᾳστώνην	à-la-fois et facilité
τοῖς φοιτῶσιν εἰς Ῥώμην	à ceux qui se rendent à Rome
διὰ ἐμπορίας·	pour le commerce :
πρὸς δὲ τούτοις	et outre ces *choses*
ἐκτρέψας τὰ μὲν ἕλη	d'une part ayant détourné les marais
τὰ περὶ Πωμέντιον	ceux *étant* autour de Pométium
καὶ Σήτιον	et de Sétium
ἀποδεῖξαι	de montrer *à leur place*
πεδίον ἐνεργὸν	une plaine bonne-à-travailler
πολλαῖς μυριάσιν ἀνθρώπων·	par plusieurs myriades d'hommes :
ἐπαγαγὼν δὲ κλεῖθρα	d'autre part ayant élevé des barrières
διὰ χωμάτων	à l'aide de digues
τῇ θαλάσσῃ	à la mer
ἔγγιστα τῆς Ῥώμης	*qui est* le plus près de Rome
καὶ ἀνακαθηράμενος	et ayant nettoyé
τὰ τυφλὰ καὶ δύσορμα	les *endroits* cachés et peu-sûrs
τῆς ἠϊόνος Ὠστιανῆς	de la côte d'-Ostie
ἐμποιήσασθαι λιμένας	d'y-faire des ports
καὶ ναύλοχα ἀξιόπιστα	et des havres sûrs

ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. Καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

LIX. Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ, καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. Οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμέναις ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς, ὑποφερομένας κατὰ μικρὸν, εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν, οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δ' ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες, ἐξαίφνης καὶ προῃσθημένου μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα, μερκηδόνιον[1] ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόῤῥω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ, τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ

qui pussent contenir le grand nombre de vaisseaux qui s'y rendaient de toutes parts : mais ces grands ouvrages restèrent en projets.

LIX. Il fut plus heureux dans la réforme du calendrier : il imagina une correction ingénieuse de l'inégalité qui jetait dans le calcul des temps beaucoup de confusion ; et cette réforme, heureusement terminée, fut depuis d'un usage aussi commode qu'agréable. Les Romains, dans les premiers temps de leur monarchie, n'avaient pas même de périodes fixes et réglées pour accorder leurs mois avec l'année ; et il en résultait que leurs sacrifices et leurs fêtes, en reculant peu à peu, se trouvaient successivement dans des saisons entièrement opposées à celles de leur établissement. Bien plus, au temps de César, où l'année solaire était seule en usage, le commun des citoyens n'en connaissait pas la révolution ; les prêtres, qui seuls avaient la connaissance des temps, ajoutaient tout à coup, sans qu'on s'y attendît, un mois intercalaire, qu'ils appelaient mercédonius, que le roi Numa avait imaginé, mais qui n'était qu'un faible remède aux erreurs qui, comme on l'a dit dans la Vie de ce prince, avaient lieu dans le calcul de l'année. César, ayant proposé cette question aux plus savants philosophes et aux plus habiles mathématiciens de son

πρὸς τοσαύτην ναυτιλίαν.	pour une si grande navigation.
Καὶ ταῦτα μὲν	Et ces *choses* certes
ἦν ἐν παρασκευαῖς.	étaient en préparatifs.
LIX. Ἡ δὲ διάθεσις	LIX. Mais la constitution
τοῦ ἡμερολογίου	du calendrier
καὶ διόρθωσις τῆς ἀνωμαλίας	et la correction de l'inégalité
περὶ τὸν χρόνον,	concernant le temps,
φιλοσοφηθεῖσα χαριέντως	ayant été étudiée avec-esprit
ὑπὸ αὐτοῦ,	par lui,
καὶ λαβοῦσα τέλος,	et ayant pris fin,
παρέσχε χρείαν γλαφυρωτάτην.	offrit un usage très commode.
Ῥωμαῖοι γὰρ οὐ μόνον	Car les Romains non seulement
ἐν τοῖς χρόνοις πάνυ παλαιοῖς	dans les temps tout-à-fait anciens
ἐχρῶντο	se servaient
ταῖς περιόδοις τῶν μηνῶν	de périodes de mois
τεταραγμέναις πρὸς τὸν ἐνιαυτὸν,	non-réglées par rapport à l'année,
ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς,	au point les sacrifices et les fêtes,
ὑποφερομένας κατὰ μικρὸν,	reculés peu-à-peu,
ἐκπεπτωκέναι εἰς ὥρας	être tombés en des saisons
ἐναντίας	contraires
τοῖς χρόνοις,	aux temps *de leur établissement*,
ἀλλὰ καὶ περὶ τὴν	mais même par rapport à la *période*
οὖσαν τότε ἡλιακὴν,	qui était alors solaire,
οἱ μὲν ἄλλοι εἶχον παντάπασιν	les autres *citoyens* étaient tout-à-fait
ἀσυλλογίστως τούτων,	dans-l'ignorance de ces *choses*,
οἱ δὲ ἱερεῖς μόνοι	et les prêtres seuls
εἰδότες τὸν καιρὸν,	sachant le temps-convenable,
ἐξαίφνης	tout-à-coup
καὶ μηδενὸς προῃσθημένου	et personne *ne l'*ayant pressenti,
προσέγραφον τὸν μῆνα ἐμβόλιμον,	ajoutaient le mois intercalaire,
ὀνομάζοντες μερκηδόνιον,	*le* nommant mercédonius,
ὃν ὁ βασιλεὺς Νομᾶς	lequel le roi Numa
λέγεται πρῶτος ἐμβαλεῖν,	est dit le premier avoir ajouté,
ἐξευρὼν βοήθειαν μικρὰν	ayant trouvé ce secours faible
καὶ οὐ διατείνουσαν πόῤῥω	et qui ne tendait pas loin
τῆς πλημμελείας	à l'erreur
περὶ τὰς ἀποκαταστάσεις,	concernant les révolutions-des-astres.
ὡς γέγραπται	comme il a été écrit
ἐν τοῖς περὶ ἐκείνου.	dans le *livre* sur celui-ci.
Καῖσαρ δὲ, προθεὶς τὸ πρόβλημα	Or César ayant proposé le problème

πρόβλημα προθεὶς, ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔμιξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. Οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων οὖν ὁ ῥήτωρ, ὡς ἔοικε, φήσαντός τινος αὔριον ἐπιτέλλειν Λύραν· « Ναὶ, εἶπεν, ἐκ διατάγματος· » ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

LX. Τὸ δ' ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δ' ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη γενομένη. Καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐ-

temps, publia, d'après les méthodes déjà trouvées, une réforme particulière et exacte, dont les Romains font encore usage, et qui prévient une partie des erreurs auxquelles les autres peuples sont sujets sur l'inégalité qui a lieu entre les mois et les années. Cependant ses envieux et ceux qui ne pouvaient souffrir sa domination en prirent sujet de le railler. Cicéron, si je ne me trompe, ayant entendu dire à quelqu'un que la constellation de la Lyre se lèverait le lendemain : « Oui, dit-il, elle se lèvera par édit; » comme si ce changement même n'avait été reçu que par contrainte.

LX. Mais la haine la plus envenimée des Romains contre lui et la véritable cause de sa mort vinrent du désir qu'il eut de se faire déclarer roi. De là naquit l'aversion que le peuple commença à lui porter, et le prétexte le plus spécieux pour ses ennemis secrets d'exécuter leur mauvais dessein. Ceux qui voulaient l'élever à la royauté semaient dans le public que, d'après un oracle des livres Sibyllins, les Parthes ne seraient soumis par les armées romaines que lorsqu'elles seraient commandées par un roi; que sans cela elles

τοῖς ἀρίστοις τῶν φιλοσόφων	aux plus habiles des philosophes
καὶ μαθηματικῶν,	et des mathématiciens,
ἔμιξεν ἐκ τῶν μεθόδων	mélangea avec les méthodes
ἤδη ὑποκειμένων	déjà établies
τινὰ ἐπανόρθωσιν ἰδίαν	une certaine réforme propre
καὶ μᾶλλον διηκριβωμένην,	et rendue-plus-exacte,
ᾗ Ῥωμαῖοι χρώμενοι	de laquelle les Romains se servant
μέχρι νῦν	jusqu'à présent
δοκοῦσι σφάλλεσθαι	semblent se tromper
ἧττον ἑτέρων	moins *que* d'autres
περὶ τὴν ἀνωμαλίαν.	quant à l'inégalité *du calcul des temps.*
Οὐ μὴν ἀλλὰ καὶ παρεῖχεν αἰτίας	Toutefois il fournit encore des griefs
τοῖς βασκαίνουσι	à ceux qui enviaient
καὶ βαρυνομένοις	et qui portaient-avec-peine
τὴν δύναμιν.	sa puissance.
Κικέρων οὖν ὁ ῥήτωρ,	Ainsi Cicéron l'orateur,
ὡς ἔοικε,	comme il paraît,
τινὸς φήσαντος Λύραν	quelqu'un ayant dit la Lyre
ἐπιστέλλειν αὔριον·	se lever le lendemain :
« Ναί, εἶπεν, ἐκ διατάγματος· »	« Oui, dit-il, par édit : »
ὡς τῶν ἀνθρώπων	comme les hommes
δεχομένων καὶ τοῦτο	recevant même cela
πρὸς ἀνάγκην.	par nécessité.
LX. Ὁ δὲ ἔρως τῆς βασιλείας	LX. Mais le désir de la royauté
ἐξειργάσατο ἐπὶ αὐτὸν	produisit contre lui
τὸ μῖσος μάλιστα ἐμφανὲς	la haine la plus évidente
καὶ θανατηφόρον,	et mortelle,
γενομένη μὲν	étant devenu il-est-vrai
τοῖς πολλοῖς	pour beaucoup
πρώτη αἰτία,	le premier grief,
τοῖς δὲ ὑπούλοις	mais *étant* pour ses ennemis-secrets
πρόφασις εὐπρεπεστάτη	le prétexte le plus spécieux
πάλαι.	depuis-longtemps.
Καίτοι καὶ οἱ προξενοῦντες	Or ceux même qui ménageaient
ταύτην τὴν τιμὴν Καίσαρι	cet honneur à César
κατέσπειράν τινα λόγον	semèrent un certain bruit
εἰς τὸν δῆμον,	dans le peuple,
ὡς ἐκ γραμμάτων Σιβυλλείων	que d'après les écrits Sibyllins
τὰ Πάρθων φαίνοιτο	les *forces* des Parthes paraissaient
ἁλώσιμα Ῥωμαίοις	destructibles par les Romains

τοὺς, ἄλλως ἀνέφικτα ὄντα· καὶ καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα. Τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος οὐκ ἔφη βασιλεὺς, ἀλλὰ Καῖσαρ καλεῖσθαι· καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς, οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν. Ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων, ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος· προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξαναστὰς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων ἀπεκρίνατο, συστολῆς μᾶλλον, ἢ προσθέσεως, τὰς τιμὰς δεῖσθαι. Καὶ τοῦτ' οὐ μόνον ἠνίασε τὴν βουλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης· καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς οἷς ἐξῆν μὴ παραμένειν· ὥστε κἀκεῖνον ἐννοή-

n'entreraient jamais dans leur pays. Un jour qu'il revenait d'Albe à Rome, ces mêmes personnes osèrent le saluer du nom de roi. César, qui s'aperçut du trouble que ce titre excitait parmi le peuple, fit semblant d'en être offensé, et dit qu'il ne s'appelait pas roi, mais César. Ce mot fut suivi d'un silence profond de la part de tous les assistants, et César suivit son chemin d'un air triste et mécontent. Un autre jour que le sénat lui avait décerné des honneurs extraordinaires, les consuls et les préteurs, suivis de tous les sénateurs, se rendirent sur la place, où il était assis à la tribune, pour lui faire part du décret. Il ne daigna pas se lever à leur arrivée; et, leur donnant audience comme à de simples particuliers, il leur dit qu'il fallait diminuer ses honneurs plutôt que de les augmenter. Le sénat ne fut pas plus mortifié de cette hauteur que le peuple lui-même, qui crut voir Rome méprisée dans la personne des sénateurs; tous ceux qui n'étaient pas obligés par état de rester s'en retournèrent la

στρατευομένοις ἐπὶ αὐτοὺς	faisant-campagne contre eux
σὺν βασιλεῖ,	avec un roi, [bles :
ὄντα ἄλλως ἀνίκητα·	*ces forces* étant autrement invinci-
καὶ Καίσαρος καταβαίνοντος	et César revenant
ἐξ Ἄλβης εἰς τὴν πόλιν,	d'Albe dans la ville,
ἐτόλμησαν ἀσπάσασθαι	ils osèrent saluer
αὐτὸν βασιλέα.	lui roi.
Τοῦ δὲ δήμου διαταραχθέντος,	Mais le peuple étant troublé,
ἐκεῖνος ἀχθεσθεὶς	celui-ci s'étant plaint
ἔφη οὐ καλεῖσθαι βασιλεύς,	dit ne-pas s'appeler roi,
ἀλλὰ Καῖσαρ·	mais César :
καὶ σιωπῆς πάντων	et le silence de tous
γενομένης πρὸς τοῦτο,	ayant eu-lieu sur cela,
παρῆλθεν οὐ πάνυ φαιδρὸς	il passa-outre non du tout rayonnant
οὐδὲ εὐμενής.	ni de-bonne-humeur.
Ἐν δὲ συγκλήτῳ	Puis dans le sénat
ψηφισαμένων αὐτῷ	*les sénateurs* ayant décerné à lui
τινὰς τιμὰς ὑπερφυεῖς,	certains honneurs excessifs,
ἔτυχε μὲν καθεζόμενος	il se trouva siégeant
ὑπὲρ τῶν ἐμβόλων·	sur les rostres :
τῶν δὲ ὑπάτων	et les consuls
καὶ τῶν στρατηγῶν,	et les préteurs
προσιόντων,	venant-vers *lui*,
ἅμα δὲ καὶ	et en même-temps aussi
τῆς βουλῆς ἁπάσης	le sénat tout-entier
ἑπομένης,	*les* suivant,
οὐχ ὑπεξαναστάς,	*César* ne s'étant pas levé,
ἀλλὰ ὥσπερ χρηματίζων	mais comme donnant-audience
τισὶν ἰδιώταις,	à de simples-particuliers,
ἀπεκρίνατο τὰς τιμὰς	répondit ses honneurs
δεῖσθαι συστολῆς	avoir-besoin de diminution
μᾶλλον ἢ προσθέσεως.	plus que de surcroît.
Καὶ τοῦτο ἠνίασεν	Et cela chagrina
οὐ μόνον τὴν βουλήν,	non seulement le sénat,
ἀλλὰ καὶ τὸν δῆμον,	mais encore le peuple,
ὡς τῆς πόλεως	comme la cité
προπηλακιζομένης ἐν τῇ βουλῇ·	étant outragée dans le sénat :
καὶ οἷς ἐξῆν	et *ceux* à qui il était-possible
μὴ παραμένειν	de ne-pas rester
ἀπῆλθον εὐθὺς	s'en-allèrent aussitôt

σαντα, παραχρῆμα μὲν οἴκαδε τραπέσθαι καὶ βοᾷν πρὸς τοὺς φίλους, ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν· ὕστερον δὲ προφασίζεσθαι τὴν νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην εἰλίγγους ἐπισπᾶσθαι καὶ καταλαμβάνεσθαι. Τὸ δ' οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου κατασχεθῆναι φήσαντος· « Οὐ μεμνήσῃ Καῖσαρ ὤν, οὐδ' ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν; »

LXI. Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. Ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτὴ[1],

tête baissée et dans un morne silence. César s'en aperçut, et rentra sur-le-champ dans sa maison; là, se découvrant la gorge, il criait à ses amis qu'il était prêt à la présenter au premier qui voudrait le frapper. Enfin il s'excusa sur sa maladie ordinaire, qui, disait-il, ôte à ceux qui en sont attaqués l'usage de leurs sens, quand ils parlent debout devant une assemblée nombreuse; saisis d'abord d'un tremblement général, ils éprouvent des éblouissements et des vertiges qui les privent de toute connaissance. Mais cette excuse était fausse, car il avait voulu se lever devant le sénat; et il en fut empêché par un de ses amis, ou plutôt par un de ses flatteurs, Cornélius Balbus, qui lui dit : « Oubliez-vous que vous êtes César ? et voulez-vous rejeter les honneurs qui sont dus à votre dignité ? »

LXI. Après avoir ainsi mécontenté tous les ordres de la ville, il fit encore aux tribuns du peuple un outrage sanglant. On célébrait

μετὰ δεινῆς κατηφείας·	avec un morne abattement :
ὥστε καὶ ἐκεῖνον	au point celui-ci aussi
ἐννοήσαντα,	*l'*ayant remarqué
παραχρῆμα μὲν	sur-le-champ d'une part
τραπέσθαι οἴκαδε	être retourné à la maison
καὶ βοᾶν πρὸς τοὺς φίλους,	et crier à ses amis,
ἀπαγαγόντα τὸ ἱμάτιον	*en* rabattant son manteau
τοῦ τραχήλου,	de dessus son cou,
ὡς εἴη ἕτοιμος	qu'il était prêt
παρέχειν τὴν σφαγὴν	à présenter la gorge
τῷ βουλομένῳ·	à celui voulant *frapper*
ὕστερον δὲ προφασίζεσθαι	mais ensuite prétexter
τὴν νόσον·	sa maladie :
τὴν γὰρ αἴσθησιν	car *il disait* la sensibilité
τῶν ἐχόντων οὕτως	de ceux étant ainsi
οὐκ ἐθέλειν ἀτρεμεῖν,	ne-pas vouloir rester-en-repos,
ὅταν ἱστάμενοι	lorsque se tenant-debout
διαλέγωνται πρὸς ὄχλον,	ils parlent à la multitude,
ἀλλὰ σειομένην ταχὺ	mais *elle* agitée rapidement
καὶ περιφερομένην	et emportée-dans-tous-les-sens
ἐπισπᾶσθαι εἰλίγγους	exciter des vertiges
καὶ καταλαμβάνεσθαι.	et être saisie.
Τὸ δὲ οὐκ εἶχεν οὕτως,	Or cela n'était pas ainsi,
ἀλλὰ καὶ λέγουσιν	mais même on dit
αὐτὸν βουλόμενον πάνυ	lui voulant tout-à fait
ὑπεξαναστῆναι τῇ βουλῇ	se lever devant le sénat
κατασχεθῆναι	avoir été retenu
ὑπό του τῶν φίλων,	par quelqu'un de ses amis,
μᾶλλον δὲ κολάκων,	mais plutôt de ses flatteurs,
Κορνηλίου Βάλβου φήσαντος·	Cornélius Balbus qui dit :
« Οὐ μεμνήσῃ	« Ne te souviendras-tu-pas
ὢν Καῖσαρ,	étant César,
οὐδὲ ἀξιώσεις	et-ne jugeras-tu-pas-convenable
σεαυτὸν θεραπεύεσθαι	toi-même être honoré
ὡς κρείττονα; »	comme supérieur? »
LXI. Ὁ προπηλακισμὸς	LXI. L'outrage
τῶν δημάρχων	*fait* aux tribuns
ἐπιγίνεται	vient-après
τούτοις τοῖς προσκρούσμασιν.	ces offenses.
Ἦν μὲν γὰρ ἡ ἑορτὴ	Car *c'*était la fête

περὶ ἧς πολλοὶ γράφουσιν ὡς ποιμένων τὸ παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς Λυκαίοις. Τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοὶ σκύτεσι λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες. Ταῦτα Καῖσαρ ἐθεᾶτο, καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. Ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον ὤρεξε τῷ Καίσαρι. Καὶ γίνεται κρότος οὐ λαμπρὸς, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. Ἀπωσαμένου δὲ τοῦ Καίσαρος, ἅπας ὁ δῆμος ἀνεκρότησεν· αὖθις δὲ προσφέροντος, ὀλίγοι, καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης, Καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. Ὤφθησαν δὲ ἀν-

la fête des Lupercales, qui, selon plusieurs écrivains, fut anciennement une fête de bergers, et a beaucoup de rapport avec les fêtes lyciennes en Arcadie. Ce jour-là les jeunes gens des premières maisons de Rome et la plupart des magistrats courent nus par la ville, armés de bandes de cuir qui ont tout leur poil, et dont ils frappent, en s'amusant, toutes les personnes qu'ils rencontrent. César assistait à cette fête, assis dans la tribune sur un siége d'or et vêtu d'une toge de triomphateur. Antoine, en sa qualité de consul, était un de ceux qui figuraient dans cette course sacrée. Quand il arriva sur la place publique, et que la foule se fut ouverte pour lui donner passage, il s'approcha de César et lui présenta un diadème enlacé d'une branche de laurier. Cette tentative n'excita qu'un battement de mains faible et sourd, qui avait l'air de venir de gens apostés; César repoussa la main d'Antoine, et à l'instant tout le peuple applaudit. Antoine lui présenta une seconde fois le diadème, et très-peu de personnes battirent des mains; César le repoussa encore, et la place retentit d'applaudissements universels. Convaincu par cette double épreuve des dispositions du peuple, il se lève et ordonne qu'on porte ce diadème au Capitole. Quelques jours après, on vit ses sta-

τῶν Λουπερκαλίων,	des Lupercales,
περὶ ἧς πολλοὶ γράφουσιν	sur laquelle plusieurs écrivent
ὡς εἴη τὸ παλαιὸν ποιμένων,	que c'était l'ancienne *fête* des bergers
καί τι καὶ	et en quelque chose aussi
προσήκει	elle se rapporte
τοῖς Λυκαίοις Ἀρκαδικοῖς.	aux *fêtes* du-Lycée d'-Arcadie.
Πολλοὶ δὲ τῶν νεανίσκων εὐγενῶν	Or plusieurs des jeunes-gens nobles
καὶ ἀρχόντων	et des magistrats
διαθέουσι γυμνοὶ ἀνὰ τὴν πόλιν	courent nus à travers la ville
παίοντες τοὺς ἐμποδὼν	frappant ceux *étant* devant *eux*
ἐπὶ παιδιᾷ καὶ γέλωτι	par plaisanterie et pour rire
σκύτεσι λασίοις.	avec des lanières garnies-de-poils.
Καῖσαρ ἐθεᾶτο ταῦτα,	César regardait ces *choses*,
καθήμενος ἐπὶ τῶν ἐμβόλων	assis aux rostres
ἐπὶ δίφρου χρυσοῦ,	sur un siége d'-or,
κεκοσμημένος κόσμῳ θριαμβικῷ.	paré de l'ornement triomphal.
Ἀντώνιος δὲ ἦν εἷς	Or Antoine était un [crée :
τῶν θεόντων τὸν δρόμον ἱερόν·	de ceux qui couraient la course sa-
καὶ γὰρ ὑπάτευεν.	et en effet il était-consul.
Ὡς οὖν ἐνέβαλεν εἰς τὴν ἀγορὰν,	Donc comme il déboucha sur la place,
καὶ τὸ πλῆθος	et *comme* la multitude
διέστη αὐτῷ,	se sépara devant lui,
φέρων διάδημα	portant un diadème
περιπεπλεγμένον στεφάνῳ δάφνης	enlacé d'une couronne de laurier
ὤρεξε τῷ Καίσαρι.	il *le* tendit à César.
Καὶ κρότος γίνεται	Et un applaudissement a-lieu
οὐ λαμπρὸς,	non éclatant,
ἀλλὰ ὀλίγος ἐκ παρασκευῆς.	mais faible par cabale.
Τοῦ δὲ Καίσαρος ἀπωσαμένου,	Mais César *l'*ayant repoussé,
ἅπας ὁ δῆμος ἀνεκρότησε·	tout le peuple applaudit :
προσφέροντος δὲ αὖθις,	et *Antoine le* présentant de nouveau,
ὀλίγοι,	quelques-uns *applaudirent*,
καὶ μὴ δεξαμένου,	et *César* ne *l'*ayant pas-reçu,
πάλιν ἅπαντες.	de nouveau tous *applaudirent*.
Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης,	Et ainsi la tentative étant condamnée
Καῖσαρ μὲν ἀνίσταται,	d'une part César se lève,
κελεύσας τὸν στέφανον	ayant ordonné la couronne
ἀπενεχθῆναι εἰς τὸ Καπιτώλιον.	être portée au Capitole.
Ἀνδριάντες δὲ αὐτοῦ	D'autre part des statues de lui
ὤφθησαν ἀναδεδεμένοι	furent vues enlacées

δριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούϊος καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες, ἀπῆγον εἰς τὸ δεσμωτήριον. Ὁ δὲ δῆμος εἵπετο κροτῶν, καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. Ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς, τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον· ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων, πολλάκις Βρούτους τε καὶ Κυμαίους[1] ἀπεκάλει [τοὺς ἄνδρας].

LXII. Οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοὶ, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ τὸ πρὸς μητρὸς δ' ἀπὸ Σερβιλίων, οἰκίας ἑτέρας ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. Τοῦτον μὲν ἐξ ἑαυτοῦ ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. Οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομ-

tues couronnées d'un bandeau royal : deux tribuns du peuple, Flavius et Marullus, allerent sur les lieux, et arrachèrent ces diadèmes. Ayant rencontre ceux qui les premiers avaient salué César roi, ils les firent arrêter et conduire en prison. Le peuple suivait ces magistrats en battant des mains, et les appelait des Brutus, parce que anciennement Brutus avait mis fin à l'autorité monarchique, et transféré le pouvoir souverain des rois au sénat et au peuple. César, transporté de colère, priva les tribuns de leur charge, et, en se plaignant d'eux publiquement, il ne craignit pas d'insulter le peuple lui-même, en les appelant, à plusieurs reprises, des Brutes et des Cuméens.

LXII. Cet événement attira sur Brutus les regards de la multitude; il passait pour être, du côté paternel, un descendant de l'ancien Brutus, et, par sa mère, il était de la famille Servilia, autre maison non moins illustre : il était d'ailleurs neveu et gendre de Caton, et devait naturellement désirer la ruine de la monarchie; mais les honneurs et les bienfaits qu'il avait reçus de César émoussaient ce désir, et l'empêchaient de se porter à la détruire. Non content de lui avoir donné la vie après la bataille de Pharsale et la fuite de Pompée, et

διαδήμασι βασιλικοῖς·
καὶ δύο τῶν δημάρχων,
Φλαούϊος καὶ Μάρυλλος,
ἐπελθόντες ἀπέσπασαν,
καὶ ἐξευρόντες
τοὺς πρώτους ἀσπασαμένους
τὸν Καίσαρα βασιλέα,
ἀπῆγον εἰς τὸ δεσμωτήριον.
Ὁ δὲ δῆμος
εἵπετο κροτῶν,
καὶ ἀπεκάλει τοὺς ἄνδρας Βρούτους
ὅτι Βροῦτος
ἦν ὁ καταλύσας
τὴν διαδοχὴν τῶν βασιλέων
καὶ καταστήσας τὸ κράτος
ἐκ μοναρχίας εἰς βουλὴν καὶ δῆμον.
Καῖσαρ παροξυνθεὶς ἐπὶ τούτῳ,
ἀφείλετο μὲν τὴν ἀρχὴν
τῶν περὶ τὸν Μάρυλλον·
ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν
ἅμα καὶ ἐφυβρίζων
τὸν δῆμον,
ἀπεκάλει πολλάκις [τοὺς ἄνδρας]
Βρούτους τε καὶ Κυμαίους.

LXII. Οὕτω δὴ οἱ πολλοὶ
τρέπονται πρὸς Μάρκον Βροῦτον,
δοκοῦντα μὲν εἶναι πρὸς πατέρων
γένος ἐκεῖθεν,
καὶ τὸ πρὸς μητρὸς δὲ
ἀπὸ Σερβιλίων,
ἑτέρας οἰκίας ἐπιφανοῦς,
γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν
Κάτωνος.
Αἱ μὲν τιμαὶ καὶ χάριτες
(αἱ) παρὰ Καίσαρος
ἤμβλυνον τοῦτον
ὁρμῆσαι ἐξ ἑαυτοῦ
πρὸς κατάλυσιν τῆς μοναρχίας.
Οὐ γὰρ μόνον ἐσώθη
περὶ Φάρσαλον

de diadèmes royaux :
et deux des tribuns,
Flavius et Marullus,
étant survenus *les* arrachèrent,
et ayant trouvé
les premiers qui avaient salué
César roi,
les emmenèrent en prison.
Mais le peuple
les suivait *en* applaudissant,
et appelait ces hommes Brutus,
parce que Brutus
était celui ayant brisé
la succession des rois
et ayant fait-passer le pouvoir
de la monarchie au sénat et au peu-[ple.
César irrité pour cela,
d'une part enleva la charge
à Marullus *et* à *son collègue :*
d'autre part dans le accuser eux
en-même-temps aussi insultant
le peuple,
il appelait souvent [ces hommes]
et Brutes et Cuméens.

LXII. Ainsi donc la plupart
se tournent vers Marcus Brutus,
qui paraissait être par ses pères
de la famille de ce-côté-là (*les Brutus*)
et par sa mère
de la famille des Servilius,
autre maison illustre,
et de plus gendre et neveu
de Caton.
A-la-vérité les honneurs et les faveurs
reçus de César
émoussaient celui-ci
l'*empêchant* de s'élancer de lui-même
vers la destruction de la monarchie.
Car non seulement il avait été sauvé
à Pharsale

πηίου φυγῆς, οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. Καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δ' ἔμελλεν εἰς τέταρτον ἔτος, ἐρίσαντος Κασσίου προτιμηθείς. Λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα μὲν λέγοι Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. Καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγὼν ἔφη πρὸς τοὺς διαβάλλοντας· « Ἀναμένει τοῦτο τὸ σῶμα Βροῦτος », ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετὴν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. Οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες, αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι· νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα καὶ τὸν δίφρον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν· ὧν ἦν τὰ πολλὰ

d'avoir, à sa prière, sauvé plusieurs de ses amis, César lui avait encore témoigné la plus grande confiance, en lui conférant cette année même la préture la plus honorable, et le désignant consul pour quatre ans après; il lui donnait la préférence sur Cassius, son compétiteur, quoiqu'il avouât que Cassius apportait de meilleurs titres; mais il ne pouvait le faire passer avant Brutus : aussi, lorsqu'on lui dénonça ce dernier comme engagé dans la conjuration qui se tramait déjà, il n'ajouta pas foi à cette accusation; et, se prenant la peau du corps avec la main : « Brutus, dit-il, attend la fin de ce corps. » Il faisait entendre par là que la vertu de Brutus le rendait digne de régner; mais que pour régner il ne deviendrait pas ingrat et criminel. Cependant ceux qui désiraient un changement et qui avaient les yeux fixés sur Brutus seul, ou du moins sur lui plus que sur tout autre, n'osaient pas, à la vérité, lui en parler ouvertement; mais la nuit ils couvraient le tribunal et le siége où il rendait la justice comme préteur de billets conçus la plupart en ces termes : « Tu dors, Bru-

ἀπὸ τῆς φυγῆς Πομπηΐου,	après la fuite de Pompée,
οὐδὲ ἔσωσε	et non *seulement* il avait sauvé
πολλοὺς τῶν ἐπιτηδείων	plusieurs de ses amis
ἐξαιτησάμενος,	*l'*ayant demandé *à César,*
ἀλλὰ καὶ εἶχε παρὰ αὐτῷ	mais encore il avait auprès de lui
μεγάλην πίστιν.	un grand crédit.
Καὶ ἔλαβε μὲν στρατηγίαν	Et d'une part il reçut une préture
τὴν ἐπιφανεστάτην ἐν τοῖς τότε,	la plus honorable parmi ceux *d'*alors,
ἔμελλε δὲ ὑπατεύειν	d'autre part il devait être-consul
εἰς τέταρτον ἔτος,	pour la quatrième année,
προτιμηθεὶς Κασσίου	ayant été préféré à Cassius
ἐρίσαντος.	qui rivalisait *avec lui.*
Ὁ γὰρ Καῖσαρ λέγεται εἰπεῖν,	Car César est dit avoir dit,
ὡς Κάσσιος μὲν	que Cassius il-est-vrai
λέγοι δικαιότερα,	disait des *choses* plus justes,
αὐτὸς μέντοι	*que* lui pourtant
οὐκ ἂν παρέλθοι Βροῦτον.	ne passerait-pas-devant Brutus.
Καί ποτε καί τινων	Et un-jour même quelques-uns
διαβαλλόντων τὸν ἄνδρα,	accusant cet homme,
τῆς συνωμοσίας ἤδη πραττομένης,	la conjuration déjà se faisant,
οὐ προσέσχεν, ἀλλὰ θιγὼν	il n'*y* fit-pas-attention, mais touchant
τοῦ σώματος τῇ χειρὶ	son corps avec la main
ἔφη πρὸς τοὺς διαβάλλοντας·	il dit à ceux qui accusaient *Brutus :*
« Βροῦτος ἀναμένει	« Brutus attend
τοῦτο τὸ σῶμα, »	ce corps-ci »,
ὡς ὄντα μὲν ἄξιον	comme *pensant celui-ci* étant digne
τῆς ἀρχῆς διὰ ἀρετήν,	du pouvoir par sa vertu,
οὐκ ἂν δὲ γενόμενον	mais ne devant pas-devenir
ἀχάριστον καὶ πονηρὸν	ingrat et mauvais
διὰ τὴν ἀρχήν.	en vue du pouvoir.
Οἱ δὲ ἐφιέμενοι τῆς μεταβολῆς	Mais ceux qui désiraient la révolution
καὶ ἀποβλέποντες	et qui regardaient
πρὸς ἐκεῖνον μόνον ἢ πρῶτον,	vers celui-là seul ou le premier,
οὐκ ἐτόλμων μὲν	n'osaient pas sans doute
διαλέγεσθαι αὐτῷ·	s'*en* entretenir avec lui :
νύκτωρ δὲ	mais de nuit
κατεπίμπλασαν γραμμάτων	ils remplissaient d'écrits
τὸ βῆμα καὶ τὸν δίφρον,	le tribunal et le siége,
ἐπὶ οὗ στρατηγῶν	sur lequel étant-préteur
ἐχρημάτιζεν·	il donnait-audience :

τοιαῦτα· « Καθεύδεις, ὦ Βροῦτε· » καί· « Οὐκ εἶ Βροῦτος. » Ὑφῶν ὁ Κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον ἢ πρότερον ἐνέκειτο καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα δι' αἰτίας, ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν[1]. Εἶχε μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτὸν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· « Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει, λίαν ὠχρὸς ὤν. » Πάλιν δὲ λέγεται, περὶ Ἀντωνίου καὶ Δολοβέλλα διαβολῆς πρὸς αὐτὸν, ὡς νεωτερίζοιεν, ἐλθούσης, « Οὐ πάνυ, φάναι, τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους· » Κάσσιον λέγων καὶ Βροῦτον.

LXIII. Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον· ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσι. Σέλα μὲν οὖν οὐράνια καὶ τύπους νύκτωρ πολ-

tus », ou : « Tu n'es pas Brutus. » Cassius, qui s'aperçut que ces reproches réveillaient insensiblement en Brutus un vif désir de gloire, le pressa lui-même beaucoup plus qu'il n'avait fait encore ; car il avait contre César des motifs particuliers de haine, que nous avons fait connaître dans la Vie de Brutus. Aussi César, qui avait des soupçons sur son compte, dit-il un jour à ses amis : « Que croyez-vous « que projette Cassius ? Pour moi, il ne me plaît guère, car je le « trouve bien pâle. » Une autre fois on accusait auprès de lui Antoine et Dolabella de tramer quelques nouveautés. « Ce ne sont pas, dit-il, « ces gens gras et bien peignés que je redoute ; je crains plutôt ces « hommes pâles et maigres. » Il désignait Brutus et Cassius.

LXIII. Mais il est bien plus facile de prévoir sa destinée que de l'éviter ; celle de César fut, dit-on, annoncée par les présages et les prodiges les plus étonnants. A la vérité, dans un événement de cette

ὧν τὰ πολλὰ ἦν τοιαῦτα·
« Καθεύδεις, ὦ Βροῦτε· »
καί· « Οὐκ εἶ Βροῦτος. »
Ὑπὸ ὧν ὁ Κάσσιος αἰσθόμενος
τὸ φιλότιμον αὐτοῦ
διακινούμενον ἡσυχῇ,
ἐνέκειτο καὶ παρώξυνε
μᾶλλον ἢ πρότερον,
ἔχων καὶ αὐτὸς ἰδίᾳ
τὶ μίσους πρὸς τὸν Καίσαρα
διὰ αἰτίας, ἃς δεδηλώκαμεν
ἐν τοῖς γεγραμμένοις
περὶ Βρούτου.
Ὁ μέντοι Καῖσαρ
καὶ εἶχεν αὐτὸν διὰ ὑποψίας,
ὥστε καί ποτε εἰπεῖν
πρὸς τοὺς φίλους·
« Τί Κάσσιος
φαίνεται ὑμῖν βουλόμενος;
οὐ μὲν γὰρ ἀρέσκει ἐμοὶ λίαν,
ὢν λίαν ὠχρός. »
Πάλιν δὲ λέγεται,
διαβολῆς ἐλθούσης πρὸς αὐτὸν
περὶ Ἀντωνίου καὶ Δολοβέλλα,
ὡς νεωτερίζοιεν,
« Οὐ δέδοικα πάνυ, φάναι,
τούτους τοὺς παχεῖς
καὶ κομήτας,
μᾶλλον δὲ ἐκείνους
τοὺς ὠχροὺς καὶ λεπτούς· »
λέγων Κάσσιον καὶ Βροῦτον.
LXIII. Ἀλλὰ τὸ
πεπρωμένον
ἔοικεν οὐκ εἶναι ἀπροσδόκητον
οὕτως ὡς ἀφύλακτον·
ἐπεὶ λέγουσι
καὶ σημεῖα θαυμαστὰ
καὶ φάσματα φανῆναι.
Οὐκ ἄξιον μὲν οὖν μνημονεῦσαι
ἐπὶ τηλικούτῳ πάθει

desquels *écrits* la plupart étaient tels:
« Tu dors, ô Brutus : »
et : « Tu n'es pas Brutus. »
Par lesquels Cassius ayant remarqué
l'ambition de celui-ci
excitée doucement,
insista et *l*'aigrit
plus que auparavant,
ayant aussi lui-même en-particulier
une *part* de haine contre César
pour des motifs, que nous avons indi-
dans le *livre* écrit [qués
sur Brutus.
Cependant César
avait aussi celui-ci en suspicion,
au point même un-jour avoir dit
à ses amis :
« Quelle *chose* Cassius
paraît-il à vous voulant?
car il ne plaît pas certes à moi trop
étant trop pâle. »
Et une-autre-fois il est dit,
une accusation étant venue à lui
sur Antoine et Dolabella,
que ils méditaient-un-changement,
« Je ne crains pas du tout, avoir dit,
ceux-ci les gras
et bien-peignés,
mais plutôt ceux-là
les pâles et minces : »
désignant Cassius et Brutus.
LXIII. Mais la *chose*
arrêtée-par-le-destin
semble n'être-pas inattendue
ainsi comme *elle est* inévitable :
puisque on dit
et des signes prodigieux
et des apparitions s'être montrés.
Il n'est pas digne certes de rappeler
à propos d'un si grand malheur

λαχοῦ διαφερομένους, καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας, οὐκ ἄξιον ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι. Στράβων[1] δ' ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δ' ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα, καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν· ὡς δ' ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. Αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου, καὶ δεινὸν νομισθῆναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῷον ἀκάρδιον. Ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ μαρτίου μηνὸς, ἣν εἰδοὺς[2] Ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον· ἐλθούσης δὲ τῆς ἡμέρας, προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον, ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος· « Αἱ μὲν δὴ μάρτιαι εἰδοὶ πάρεισιν· » ὁ δ' ἡσυχῇ πρὸς αὐτὸν εἴποι· « Ναὶ πάρεισιν, ἀλλ' οὐ παρεληλύθασι. »

importance, les feux célestes, les bruits nocturnes qu'on entendit en plusieurs endroits, les oiseaux solitaires qui vinrent, en plein jour, se poser sur la place de Rome, ne sont pas des signes assez frappants pour être remarqués. Mais, au rapport de Strabon le philosophe, on vit en l'air des hommes de feu marcher les uns contre les autres ; le valet d'un soldat fit jaillir de sa main une flamme très-vive ; on crut que sa main en serait brûlée ; mais quand la flamme eut cessé, il se trouva que l'homme n'avait aucun mal. Dans un sacrifice que César offrait, on ne trouva point de cœur à la victime ; et c'était le prodige le plus effrayant, car il est contre la nature que ce viscère manque à un animal. Plusieurs personnes racontent encore aujourd'hui qu'un devin avertit César qu'il était menacé d'un très-grand danger le jour des ides de mars ; et que ce jour-là César, en allant au sénat, rencontra le devin, le salua, et lui dit, en se moquant de sa prédiction : « Eh bien ! voilà les ides de mars venues. — Oui, lui répondit « tranquillement le devin, elles sont venues, mais elles ne sont pas

σέλα οὐράνια	les météores célestes
καὶ τύπους διαφερομένους	et les bruits se transmettant
νύκτωρ πολλαχοῦ,	de-nuit en-plusieurs-endroits,
καὶ ὄρνιθας ἐρήμους	et les oiseaux solitaires
καταίροντας εἰς ἀγοράν.	s'abattant sur la place-publique.
Ὁ δὲ φιλόσοφος Στράβων ἱστορεῖ	Mais le philosophe Strabon raconte
πολλοὺς μὲν ἀνθρώπους διαπύρους	d'une part plusieurs hommes de-feu
φανῆναι	avoir paru
ἐπιφερομένους,	se portant *les uns contre les autres*,
οἰκέτην δὲ	d'autre part le valet
ἀνδρὸς στρατιώτου	d'un homme soldat
ἐκβαλεῖν ἐκ τῆς χειρὸς	avoir lancé de sa main
πολλὴν φλόγα,	une grande flamme,
καὶ δοκεῖν καίεσθαι	et paraître se consumer
τοῖς ὁρῶσιν·	à ceux qui *le* voyaient :
ὡς δὲ ἐπαύσατο,	mais dès que *la flamme* eut cessé,
τὸν ἄνθρωπον ἔχειν μηδὲν κακόν.	l'homme *n*'avoir aucun mal.
Καίσαρι δὲ αὐτῷ θύοντι	Puis à César lui-même sacrifiant
τὴν καρδίαν τοῦ ἱερείου	le cœur de la victime
γενέσθαι ἀφανῆ,	avoir été invisible,
καὶ τὸ τέρας νομισθῆναι δεινόν·	et le signe avoir été jugé terrible :
ζῷον γὰρ ἀκάρδιον	car un animal sans-cœur
οὔ γε συστῆναι ἂν φύσει.	ne-pas devoir exister naturellement.
Ἔστι δὲ καὶ ἀκοῦσαι	Il est-possible encore d'entendre
πολλῶν	beaucoup *de gens*
διεξιόντων ταῦτα,	rapportant ces *choses*,
ὥς τις μάντις προείποι αὐτῷ	que un certain devin avait prédit à lui
φυλάττεσθαι μέγαν κίνδυνον,	de se garder d'un grand danger,
ἡμέρᾳ μηνὸς μαρτίου,	le jour du mois de mars,
ἣν Ῥωμαῖοι καλοῦσιν εἰδούς·	que les Romains appellent ides :
τῆς δὲ ἡμέρας ἐλθούσης,	et *que* le jour venu,
ὁ Καῖσαρ προϊὼν εἰς τὴν σύγκλητον,	César allant au sénat,
προσπαίξειε τῷ μάντει	avait plaisanté le devin
ἀσπασάμενος φάμενος·	*l*'ayant salué *en* disant :
« Αἱ μὲν δὴ εἰδοὶ μάρτιαι	« Certes les ides de-mars
πάρεισιν· »	sont venues. »
ὁ δὲ εἴποι πρὸς αὐτὸν	et *que* celui-ci avait dit à lui
ἡσυχῇ·	tranquillement :
« Ναὶ πάρεισιν,	« Oui, elles sont venues,
ἀλλὰ οὐ παρεληλύθασι. »	mais elles ne sont point passées. »

Πρὸ μιᾶς δ' ἡμέρας, Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν, ἔτυχε μὲν ἐπιστολὰς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου, ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεφώνησεν· «Ὁ ἀπροσδόκητος.» Μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικὶ, πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ καταλαμπούσης τῆς σελήνης, ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἐκ τῶν ὕπνων ἀναπέμπουσαν· ἐδόκει δ' ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. Οἱ δ' οὔ φασι τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλ' ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι, τῆς βουλῆς ψηφισαμένης, ἀκρωτήριον[1], ὡς Λίβιος ἱστορεῖ· τοῦτ' ὄναρ ἡ Καλπουρνία θεασαμένη καταῤῥηγνύμενον, ἔδοξε

« passées. » La veille de ces ides il soupait chez Lépide, où, suivant sa coutume, il signa quelques lettres à table. Pendant qu'il faisait ces signatures, les convives proposèrent cette question : Quelle mort était la meilleure. César, prévenant leurs réponses, dit tout haut : « C'est la moins attendue. » Après souper, il rentra chez lui; et, pendant qu'il était couché avec sa femme, comme à son ordinaire, les portes et les fenêtres s'ouvrirent tout à coup d'elles-mêmes : réveillé en sursaut et troublé par le bruit et par la clarté de la lune qui donnait dans sa chambre, il entendit sa femme Calpurnie, qui dormait d'un sommeil profond, pousser des gémissements confus et prononcer des mots inarticulés qu'il ne put distinguer; mais elle semblait le pleurer en le tenant égorgé dans ses bras. Selon quelques auteurs, Calpurnie eut pendant son sommeil une autre vision que celle-là; ils disent, d'après Tite-Live, que le sénat, par un décret, avait fait placer au faîte de la maison de César une espèce de pinacle qui en était comme un ornement et une distinction; que Calpurnie avait songé que ce pinacle était rompu, et que c'était là le sujet de ses

Μιᾶς δὲ ἡμέρας πρὸ,	Or un jour avant,
Μάρκου Λεπίδου	Marcus Lépidus
δειπνίζοντος αὐτὸν,	ayant-à-souper lui,
ἔτυχε μὲν ὑπογράφων ἐπιστολὰς,	il se trouva signant des lettres,
ὥσπερ εἰώθει,	comme il avait-coutume,
κατακείμενος·	étant couché :
λόγου δὲ	et la conversation
ἐμπεσόντος,	étant tombée *sur ceci,*
ποῖος ἄρα ἄριστος τῶν θανάτων,	quelle *est* donc la meilleure des morts,
φθάσας ἅπαντας	ayant prévenu tous *les convives*
ἐξεφώνησεν·	il s'écria :
« Ὁ ἀπροσδόκητος. »	« L'inattendue. »
Μετὰ ταῦτα κοιμώμενος,	Après ces *choses* étant couché,
ὥσπερ εἰώθει,	comme il avait-coutume,
παρὰ τῇ γυναικὶ,	auprès de sa femme,
πασῶν τῶν θυρῶν ἅμα	toutes les portes à-la-fois
καὶ τῶν θυρίδων τοῦ δωματίου	et les fenêtres de l'appartement
ἀναπεταννυμένων,	s'ouvrant,
διαταραχθεὶς ἅμα τῷ κτύπῳ	troublé en-même-temps par le bruit
καὶ τῷ φωτὶ τῆς σελήνης	et par la clarté de la lune
καταλαμπούσης,	qui brillait,
ᾔσθετο τὴν Καλπουρνίαν	il remarqua Calpurnie
καθεύδουσαν μὲν βαθέως,	qui dormait profondément,
ἀναπέμπουσαν δὲ	et qui laissait-échapper
ἐκ τῶν ὕπνων	de son sommeil
φωνὰς ἀσαφεῖς	des mots obscurs
καὶ στεναγμοὺς ἀνάρθρους·	et des gémissements inarticulés :
ἐδόκει δὲ ἄρα κλαίειν	or elle semblait pleurer
ἔχουσα ἐπὶ ταῖς ἀγκάλαις	ayant dans ses bras
ἐκεῖνον κατεσφαγμένον.	celui-ci (*César*) égorgé.
Οἱ δέ φασι ταύτην τὴν ὄψιν	D'autres disent cette vision
οὐ γενέσθαι τῇ γυναικί·	n'avoir pas-eu-lieu à cette femme :
ἀλλὰ γάρ τι ἀκρωτήριον	mais un certain pinacle
ἦν προσκείμενον	était attaché
τῇ οἰκίᾳ Καίσαρος,	à la maison de César,
οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι,	tel-que pour ornement et dignité,
τῆς βουλῆς ψηφισαμένης,	le sénat *l'*ayant décerné,
ὡς Λίβιος ἱστορεῖ·	comme *Tite*-Live rapporte :
ἡ Καλπουρνία θεασαμένη ὄναρ	Calpurnie ayant vu en-songe
τοῦτο καταῤῥηγνύμενον,	ce *pinacle* qui se brisait,

ποτνιᾶσθαι καὶ δακρύειν. Ἡμέρας δ' οὖν γενομένης, ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. Εἶχε δέ τις, ὡς ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. Οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δ' ἑώρα περιπαθοῦσαν. Ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ δυσιερεῖν, ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον.

LXIV. Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος, ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μὴ, τὴν ἡμέραν

gémissements et de ses larmes. Quand le jour parut, elle conjura César de ne pas sortir, s'il lui était possible, ce jour-là, et de remettre à un autre jour l'assemblée du sénat. « Si vous faites peu d'at- « tention à mes songes, ajouta-t-elle, ayez du moins recours à d'au- « tres divinations, et faites des sacrifices pour consulter l'avenir. » Ces alarmes de Calpurnie donnèrent des soupçons et des craintes à César; il n'avait jamais vu dans sa femme les faiblesses supersti- tieuses ordinaires à son sexe, et il la voyait alors vivement affectée. Après plusieurs sacrifices, les devins lui déclarèrent que les signes n'étaient pas favorables, et il se décida enfin à envoyer Antoine au sénat, pour remettre l'assemblée à un autre jour.

LXIV. Cependant Décimus Brutus, surnommé Albinus, en qui César avait une telle confiance, qu'il l'avait institué son second héritier, et qui pourtant était de la conjuration de l'autre Brutus et de Cassius, craignant que, si César ne tenait pas l'assemblée ce jour-là,

ἔδοξε κωτνιᾶσθαι καὶ δακρύειν.	crut se lamenter et pleurer.
Ἡμέρας δὲ οὖν γενομένης,	Le jour donc étant venu,
ἐδεῖτο τοῦ Καίσαρος	elle pria César
μὴ προελθεῖν, εἰ μὲν οἷόν τε,	de ne-pas sortir, si *cela était* possible
ἀλλὰ ἀναβαλέσθαι	mais de remettre
τὴν σύγκλητον·	l'assemblée :
εἰ δὲ φροντίζει ἐλάχιστα	et s'il s'inquiète très peu
τῶν ὀνείρων ἐκείνης,	des songes d'elle,
σκέψασθαι	de faire-des-recherches
διὰ ἄλλης μαντικῆς	par une autre divination
καὶ ἱερῶν	et par des sacrifices
περὶ τοῦ μέλλοντος.	au sujet de l'avenir.
Τὶς δὲ ὑποψία	Or un certain soupçon
καὶ φόβος	et *une certaine* crainte
εἶχε καὶ ἐκεῖνον, ὡς ἔοικε.	tenait celui-ci aussi, comme il paraît.
Κατεγνώκει γὰρ πρότερον	Car il *n'*avait remarqué auparavant
οὐδένα γυναικισμὸν	aucune faiblesse-de-femme
τῆς Καλπουρνίας	de Calpurnie
ἐν δεισιδαιμονίᾳ,	en fait de superstition,
ἑώρα δὲ τότε περιπαθοῦσαν.	et il voyait alors *elle* très-affectée.
Ὡς δὲ καὶ οἱ μάντεις	Mais comme les devins aussi
καταθύσαντες πολλὰ	ayant sacrifié plusieurs *victimes*
ἔφρασαν αὐτῷ	dirent à lui
δυσιερεῖν,	ne-pas-obtenir-d'heureux-auspices,
ἔγνω πέμψας Ἀντώνιον	il résolut ayant envoyé Antoine
ἀφεῖναι τὴν σύγκλητον.	de congédier l'assemblée.
LXIV. Ἐν δὲ τούτῳ	LXIV. Mais sur ce
Δέκιμος Βροῦτος,	Décimus Brutus,
Ἀλβῖνος ἐπίκλησιν,	Albinus par surnom,
πιστευόμενος μὲν	d'une part traité-avec-confiance
ὑπὸ Καίσαρος,	par César,
ὥστε καὶ	au point même
γεγράφθαι ὑπὸ αὐτοῦ	d'avoir été inscrit par lui
δεύτερος κληρονόμος,	second héritier,
μετέχων δὲ τῆς συνωμοσίας	d'autre part étant de la conjuration
τοῖς περὶ τὸν ἕτερον Βροῦτον	avec l'autre Brutus
καὶ Κάσσιον,	et *avec* Cassius,
φοβηθεὶς μὴ, τοῦ Καίσαρος	ayant craint que, César
διακρουσαμένου	ayant écarté
ἐκείνην τὴν ἡμέραν,	ce jour-là,

ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε, καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον, ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράσει τις αὐτοῖς καθεζομένοις, νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δ' αὖθις, ὅταν ἐντύχῃ βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων, ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; Ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος, ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα, καὶ μικρὸν μὲν αὐτῷ

leur complot ne fût découvert, se moqua des devins, et représenta vivement à César que ce décret donnerait lieu aux plaintes et aux reproches du sénat qui se croirait insulté. « Les sénateurs, lui dit-il, « ne se sont assemblés que sur votre convocation ; ils sont disposés à « vous déclarer roi de tous les pays situés hors de l'Italie, et à vous « permettre de porter le diadème partout ailleurs qu'à Rome, sur « terre et sur mer. Si, maintenant qu'ils sont sur leurs siéges, quel« qu'un va leur dire de se retirer et de revenir un autre jour où Cal« purnie aura eu des songes plus favorables, quels propos ne ferez« vous pas tenir à vos envieux ? Et qui voudra seulement écouter vos « amis, lorsqu'ils diront que ce n'est pas d'un côté la plus entière « servitude, et de l'autre la tyrannie la plus absolue ? Si toutefois, « ajouta-t-il, vous croyez devoir éviter ce jour comme malheureux « pour vous, il convient au moins que vous alliez en personne au « sénat, pour lui déclarer vous-même que vous remettez l'assemblée « à un autre jour. » En achevant ces mots, il le prend par la main et le fait sortir. Il avait à peine passé le seuil de sa porte, qu'un esclave

ἡ πρᾶξις γένηται ἔκπυστος,	l'entreprise *ne* devînt connue,
ἐχλεύαζέ τε τοὺς μάντεις,	et se moquait des devins,
καὶ καθήπτετο τοῦ Καίσαρος,	et censurait César,
ὡς κτωμένου ἑαυτῷ	comme *celui-ci* attirant sur soi-même
αἰτίας καὶ διαβολὰς	des accusations et des reproches
πρὸς τὴν σύγκλητον,	du côté du sénat,
δοκοῦσαν ἐντρυφᾶσθαι·	qui croirait être insulté :
αὐτὴν μὲν γὰρ ἥκειν	car lui (*le sénat*) être venu
ἐκείνου κελεύσαντος,	celui-ci (*César*) *l'*ayant ordonné,
καὶ πάντας εἶναι προθύμους	et tous être disposés
ψηφίζεσθαι, ὅπως ἀναγορεύοιτο	à décréter, qu'il fût déclaré
βασιλεὺς τῶν ἐπαρχιῶν	roi des provinces
(τῶν) ἐκτὸς Ἰταλίας	*situées* hors de l'Italie
καὶ φοροίη διάδημα	et *que* il portât le diadème
ἐπιὼν τὴν ἄλλην γῆν	*en* parcourant les autres terres
καὶ θάλασσαν·	et mers :
εἰ δέ τις φράσει	mais si quelqu'un va dire
αὐτοῖς καθεζομένοις,	à eux siégeant,
ἀπαλλάττεσθαι μὲν νῦν,	de se séparer maintenant,
παρεῖναι δὲ αὖθις,	et de se présenter une-autre-fois,
ὅταν Καλπουρνία ἐντύχῃ	lorsque Calpurnie aura rencontré
βελτίοσιν ὀνείροις,	de meilleurs songes,
τίνας λόγους	quels propos
ἔσεσθαι	*pense-t-il* devoir être *tenus*
παρὰ τῶν φθονούντων;	par ceux qui *l'*envient?
ἢ τίνα ἀνέξεσθαι	ou qui devoir supporter
τῶν φίλων διδασκόντων,	ses amis déclarant,
ὡς ταῦτα οὐχί ἐστι	que ces *choses* ne sont pas
δουλεία καὶ τυραννίς;	servitude et tyrannie?
Ἀλλὰ εἰ δοκεῖ πάντως,	Mais s'il *lui* semble-bon absolument,
ἔφη,	dit-il,
ἀφοσιώσασθαι τὴν ἡμέραν,	de rejeter ce jour,
βέλτιον αὐτὸν προελθόντα	*il est* mieux lui-même étant allé
καὶ προσαγορεύσαντα	et ayant porté-la-parole
ὑπερθέσθαι τὴν βουλήν.	remettre le sénat *à un autre jour.*
Ὁ Βροῦτος ἅμα λέγων ταῦτα,	Brutus ensemble disant ces *mots*.
ἦγε τὸν Καίσαρα	emmenait César,
λαβόμενος τῆς χειρός,	*l'*ayant pris par la main,
καὶ οἰκέτης μὲν ἀλλότριος	et un esclave étranger
προθυμούμενος ἐντυχεῖν	désirant-fort avoir-un-entretien

προσελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν, παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ, φυλάττειν κελεύσας ἄχρις ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

LXV. Ἀρτεμίδωρος δὲ, Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων σοφιστὴς, καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκε μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλε μηνύειν· ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλιδίων ἕκαστον δεχόμενον καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα προσελθών· « Τοῦτο, ἔφη, Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων καὶ σοὶ διαφερόντων. » Δεξάμενος οὖν ὁ Καῖσαρ, ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις· ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο, παρῆλθεν εἰς τὴν σύγκλητον. Ἔνιοι δέ φασιν ἄλλον ἐπι-

étranger, qui voulait absolument lui parler, n'ayant pu l'approcher, à cause de la foule qui l'environnait, alla se jeter dans sa maison, et se remit entre les mains de Calpurnie, en la priant de le garder jusqu'au retour de César, à qui il avait des choses importantes à communiquer.

LXV. Artémidore de Cnide, qui enseignait à Rome les lettres grecques, qui voyait habituellement des complices de Brutus, et savait une partie de la conjuration, vint pour remettre à César un écrit qui contenait les différents avis qu'il voulait lui donner; mais, voyant que César, à mesure qu'il recevait quelques papiers, les remettait aux officiers qui l'entouraient, il s'approcha le plus près qu'il lui fut possible, et en présentant son écrit: « César, dit-il, lisez ce « papier seul et promptement; il contient des choses importantes, « qui vous intéressent personnellement. » César l'ayant pris de sa main essaya plusieurs fois de le lire, mais il en fut toujours empêché par la foule de ceux qui venaient lui parler. Il entra dans le sénat, le tenant toujours dans sa main, car c'était le seul qu'il eût gardé. Quel-

αὐτῷ προελθόντι μικρὸν	avec lui qui était sorti un-peu
τῶν θυρῶν,	des portes,
ὡς ἡττᾶτο	comme il était-moins-fort
τοῦ ὠθισμοῦ καὶ πλήθους	*que* la presse et la foule
περὶ ἐκεῖνον,	autour de celui-ci,
βιασάμενος εἰς τὴν οἰκίαν,	s'étant-jeté-de-force dans la maison,
παρέδωκεν ἑαυτὸν	*se* livra lui-même
τῇ Καλπουρνίᾳ,	à Calpurnie,
κελεύσας φυλάττειν	*l*'ayant engagée à *le* garder
ἄχρις Καῖσαρ ἂν ἐπανέλθῃ,	jusqu'à ce que César fût revenu,
ὡς ἔχων μεγάλα πράγματα	comme ayant de grandes affaires
κατειπεῖν πρὸς αὐτόν.	à dire à lui.
LXV. Ἀρτεμίδωρος δέ,	LXV. Or Artémidore,
Κνίδιος τὸ γένος,	Cnidien de naissance,
σοφιστὴς λόγων Ἑλληνικῶν,	professeur de lettres grecques,
καὶ διὰ τοῦτο γεγονὼς	et par cela devenu
συνήθης ἐνίοις	intime à quelques-uns
τῶν περὶ Βροῦτον,	de ceux autour de Brutus,
ὥστε καὶ γνῶναι	au point même de connaître
τὰ πλεῖστα τῶν πραττομένων,	la plupart des *choses* qui se faisaient,
ἧκε μὲν κομίζων ἐν βιβλιδίῳ	arriva apportant dans un billet
ἅπερ ἔμελλε μηνύειν·	les *choses* qu'il devait révéler :
ὁρῶν δὲ τὸν Καίσαρα	mais voyant César
δεχόμενον ἕκαστον	recevant chacun
τῶν βιβλιδίων	des billets
καὶ παραδιδόντα	et remettant *eux*
τοῖς ὑπηρέταις (τοῖς) περὶ αὐτόν,	aux officiers autour de lui,
προσελθὼν σφόδρα ἐγγύς·	s'étant approché fort près.
« Καῖσαρ, ἔφη, ἀνάγνωθι τοῦτο	« César, dit-il, lis celui-ci
μόνος καὶ ταχέως·	seul et vite :
γέγραπται γὰρ ὑπὲρ πραγμάτων	car il a été écrit sur des affaires
μεγάλων καὶ διαφερόντων σοί. »	grandes et importantes pour toi. »
Ὁ Καῖσαρ οὖν δεξάμενος,	César donc *l*'ayant reçu,
ἐκωλύθη μὲν ἀναγνῶναι	fut empêché de *le* lire
ὑπὸ πλήθους	par la foule
τῶν ἐντυγχανόντων,	de ceux étant-sur-son-passage,
καίπερ ὁρμήσας πολλάκις	quoique s'étant efforcé souvent :
κατέχων δὲ καὶ φυλάττων	mais retenant et gardant
ἐκεῖνο μόνον ἐν τῇ χειρί,	ce *billet* seul dans sa main,
παρῆλθεν εἰς τὴν σύγκλητον.	il passa-outre jusqu'au sénat.

δοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ' Ἀρτεμίδωρον οὐδ' ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.

LXVI. Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δ' ἀνάθημα γεγονὼς τῶν προσκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφαινε δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. Καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων, ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ' ὁ καιρὸς, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν, πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον, ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος[1], ἐμβαλὼν ἐπί-

ques auteurs disent qu'Artémidore, sans cesse repoussé dans le chemin par la foule, ne put jamais approcher de César, et qu'il lui fit remettre le papier par un autre.

LXVI. Toutes ces circonstances peuvent avoir été l'effet du hasard; mais on ne saurait en dire autant du lieu où le sénat fut assemblé ce jour-là, et où se passa cette scène sanglante. Il y avait là une statue de Pompée, et c'était un des édifices qu'il avait dédiés pour servir d'ornement à son théâtre. N'est-ce pas une preuve évidente que cette entreprise était conduite par un dieu, qui avait marqué cet édifice pour le lieu de l'exécution? On dit même que Cassius, lorsqu'on fut près d'attaquer César, porta ses yeux sur la statue de Pompée, et l'invoqua en secret, quoiqu'il fût d'ailleurs dans les sentiments d'Épicure: mais la vue du danger présent pénétra son âme d'un vif sentiment d'enthousiasme, qui lui fit démentir ses anciennes opinions. Antoine, dont on craignait la fidélité pour César et la force de corps extraordinaire, fut retenu hors du lieu de l'assemblée par Albinus,

Ἔνιοι δέ φασιν ἄλλον
ἐπιδοῦναι τὸ βιβλίον,
τὸν δὲ Ἀρτεμίδωρον
οὐδὲ προσελθεῖν ὅλως,
ἀλλὰ ἐκθλιβῆναι
παρὰ πᾶσαν τὴν ὁδόν.
LXVI. Ἀλλὰ ἤδη
καὶ τὸ αὐτόματον
φέρει που μὲν ταῦτα·
ὁ δὲ χῶρος δεξάμενος
ἐκεῖνον τὸν φόνον καὶ τὸν ἀγῶνα,
εἰς ὃν ἡ σύγκλητος
ἠθροίσθη τότε,
ἔχων μὲν
εἰκόνα Πομπηΐου κειμένην,
γεγονὼς δὲ
ἀνάθημα Πομπηΐου
τῶν προσκεκοσμημένων
τῷ θεάτρῳ,
ἀπέφαινε παντάπασιν
τὴν πρᾶξιν γεγονέναι ἔργον
τινὸς δαίμονος ὑφηγουμένου
καὶ καλοῦντος ἐκεῖ.
Καὶ γὰρ οὖν καὶ Κάσσιος λέγεται
ἀποβλέπων πρὸ τῆς ἐγχειρήσεως
εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου,
ἐπικαλεῖσθαι σιωπῇ,
καίπερ οὐκ ὢν ἀλλότριος
τῶν λόγων Ἐπικούρου·
ἀλλά, ὡς ἔοικεν, ὁ καιρὸς
τοῦ δεινοῦ ἤδη παρεστῶτος,
ἐνεποίει
ἐνθουσιασμὸν καὶ πάθος
ἀντὶ τῶν προτέρων λογισμῶν.
Βροῦτος μὲν οὖν Ἀλβῖνος
παρακατεῖχεν ἔξω Ἀντώνιον,
ὄντα πιστὸν Καίσαρι
καὶ ῥωμαλέον,
ἐμβαλὼν ἐπίτηδες
ὁμιλίαν

Mais quelques-uns disent un autre
lui avoir remis le billet,
et Artémidore
ne s'être pas-approché du-tout,
mais avoir été foulé
le long de toute la route.
LXVI. Cependant jusque-là
même le hasard [*ses :*
comporte en-quelque-sorte ces *cho-*
mais le lieu qui reçut
ce meurtre et cette lutte,
dans lequel (*lieu*) le sénat
fut assemblé alors,
d'une part ayant
une statue de Pompée érigée,
d'autre part étant
une offrande de Pompée
de celles ajoutées-comme-ornements
à son théâtre,
montra tout-à-fait
cette action avoir été l'œuvre
de quelque génie *la* conduisant
et *l'*appelant là.
En effet certes Cassius est dit
regardant avant l'attaque
vers la statue de Pompée,
*l'*avoir invoquée en-silence,
quoique n'étant-pas étranger
aux doctrines d'Épicure :
mais, comme il semble, le moment
du danger déjà présent,
lui inspirait
de l'enthousiasme et de l'émotion
au lieu de ses précédentes opinions.
Cependant Brutus Albinus
retenait dehors Antoine
qui était fidèle à César
et vigoureux,
ayant introduit (amené) à-dessein
une conversation

τηδες ὁμιλίαν μῆκος ἔχουσαν. Εἰσιόντος δὲ Καίσαρος, ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα· τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δ' ἀπήντησαν, ὡς δὴ Τυλλίῳ Κίμβρῳ, περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι, συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. Ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις, καὶ προσκειμένων βιαιότερον, ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Τύλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν, ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. Πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον οὐδὲ βαθεῖαν, ἀλλ', ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς· ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. Ἅμα δέ πως ἐξεφώνησαν, ὁ μὲν πληγεὶς, Ῥω-

qui engagea à dessein avec lui une longue conversation. Lorsque César entra, tous les sénateurs se levèrent pour lui faire honneur. Des complices de Brutus, les uns se placèrent autour du siége de César; les autres allèrent au-devant de lui pour joindre leurs prières à celles de Tullius Cimber, qui demandait le rappel de son frère; et ils le suivirent, en redoublant leurs instances, jusqu'à ce qu'il fût arrivé à sa place. Il s'assit, en rejetant leurs prières; et, comme ils le pressaient toujours plus vivement, il leur témoigna à chacun particulier son mécontentement. Alors Tullius lui prit la robe de deux mains et lui découvrit le haut de l'épaule; c'était le signal c les conjurés étaient convenus. Casca le frappa le premier de épée; mais le coup ne fut pas mortel, le fer n'ayant pas pénétré l avant. Il y a apparence que, chargé de commencer une si gra entreprise, il se sentit troublé. César, se tournant vers lui, saisit épée, qu'il tint toujours dans sa main. Ils s'écrièrent tous deux

ἔχουσαν μῆκος.	ayant *quelque* longueur.
Καίσαρος δὲ εἰσιόντος,	Mais César entrant,
ἡ βουλὴ μὲν ὑπεξανέστη	le sénat d'une part se leva
θεραπεύουσα·	*lui* faisant-honneur :
τῶν δὲ περὶ Βροῦτον	d'autre part de ceux autour de Brutu
οἱ μὲν περιέστησαν ἐξόπισθεν	les uns se tinrent-debout par-derrière
τὸν δίφρον αὐτοῦ,	autour du siége de lui,
οἱ δὲ ἀπήντησαν,	les autres allèrent-à-sa-rencontre,
ὡς δὴ συνδεησόμενοι	comme certes devant prier *lui*
Τυλλίῳ Κίμβρῳ,	avec Tullius Cimber,
ἐντυγχάνοντι	qui l'entretenait
περὶ ἀδελφοῦ φυγάδος,	pour son frère exilé,
καὶ συνεδέοντο	et ils prièrent-ensemble
παρακολουθοῦντες	*l'*accompagnant
μέχρι τοῦ δίφρου.	jusqu'à son siége.
Ὡς δὲ καθίσας	Mais comme s'étant assis
διεκρούετο τὰς δεήσεις,	il repoussait leurs prières,
καὶ προσκειμένων βιαιότερον,	et *que, eux* insistant plus fortement,
ἠγανάκτει πρὸς ἕκαστον,	il s'indignait contre chacun,
ὁ μὲν Τύλλιος συλλαβὼν	Tullius ayant saisi
ἀμφοτέραις χερσὶ	avec les deux mains
τὴν τήβεννον αὐτοῦ,	la toge de lui,
κατῆγεν ἀπὸ τοῦ τραχήλου·	*la* ramena de dessus son cou ;
ὅπερ ἦν σύνθημα	ce-qui était le signe-convenu
τῆς ἐπιχειρήσεως.	de l'attaque.
Κάσκας δὲ πρῶτος	Alors Casca le premier
παίει ξίφει παρὰ τὸν αὐχένα,	frappe *lui* de l'épée au col,
πληγὴν οὐ θανατηφόρον	d'un coup non mortel
οὐδὲ βαθεῖαν,	ni profond,
ἀλλ᾽, ὡς εἰκὸς,	mais, comme *c'est* naturel,
ταραχθεὶς	etant troublé
ἐν ἀρχῇ	au commencement
μεγάλου τολμήματος·	d'une grande hardiesse :
ὥστε καὶ τὸν Καίσαρα	au point même César
μεταστραφέντα	s'étant retourné
λαβέσθαι τοῦ ἐγχειριδίου	avoir saisi son épée
καὶ κατασχεῖν.	et l'avoir tenue-fortement.
Ἐξεφώνησαν δὲ	Et ils crièrent
ἅμα πως,	ensemble en-quelque-sorte,
ὁ μὲν πληγεὶς, Ῥωμαϊστί	d'une part le frappé, en-Romain :

μαϊστί· « Μιαρώτατε Κάσκα, τί ποιεῖς; » ὁ δὲ πλήξας, Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν· « Ἀδελφὲ, βοήθει. » Τοιαύτης δὲ ταραχῆς γενομένης, τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ δρώμενα, μήτε φεύγειν μήτ' ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. Τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν, πληγαῖς ἀπαντῶν, καὶ σιδήρῳ φερομένῳ καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος, ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν. Ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. Διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. Λέγεται δ' ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα, καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον καὶ παρῆκεν ἑαυτὸν,

même temps, César en latin : « Scélérat de Casca, que fais-tu ? » et Casca, s'adressant à son frère, en grec : « Mon frère, au secours ! » Dans le premier moment, tous ceux qui n'étaient pas du secret furent saisis d'horreur ; et, frissonnant de tout leur corps, ils n'osèrent ni prendre la fuite, ni défendre César, ni proférer une seule parole. Cependant les conjurés, tirant chacun son épée, l'environnent de toutes parts ; de quelque côté qu'il se tourne, il ne trouve que des épées qui le frappent aux yeux et au visage : tel qu'une bête féroce assaillie par les chasseurs, il se débattait entre toutes ces mains armées contre lui ; car chacun voulait avoir part à ce meurtre, et goûter, pour ainsi dire, à ce sang. Brutus lui-même lui porta un coup dans l'aine. César s'était défendu, dit-on, contre les autres, et traînait son corps de côté et d'autre en poussant de grands cris. Mais quand il vit Brutus venir sur lui l'épée nue à la main, il se couvrit la tête de sa robe, et s'abandonna au fer des conjurés. Soit hasard, soit

« Μιαρώτατε Κάσκα, τί ποιεῖς ; »	« Très-scélérat Casca, que fais-tu ? »
ὁ δὲ πλήξας,	et le ayant frappé,
Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν·	en-Grec à son frère :
« Ἀδελφέ, βοήθει. »	« Frère, secours-*moi.* »
Τοιαύτης δὲ ταραχῆς γενομένης,	Or un tel tumulte ayant eu-lieu,
ἔκπληξις μὲν καὶ φρίκη εἶχε	l'effroi et le frisson saisirent [*plot*
τοὺς οὐδὲν συνειδότας	ceux qui ne-savaient-rien *du com-*
πρὸς τὰ δρώμενα,	à la vue de ce qui se faisait,
τολμῶντας μήτε φεύγειν	*n'*osant ni fuir
μήτε ἀμύνειν,	ni défendre *César*,
ἀλλὰ μηδὲ ἐκβάλλειν φωνήν.	mais pas-même émettre une parole.
Ἑκάστου δὲ	Mais chacun
τῶν παρεσκευασμένων	de ceux déterminés
ἐπὶ τὸν φόνον	au meurtre
ἀποδείξαντος τὸ ξίφος γυμνὸν,	ayant montré le glaive nu,
περιεχόμενος ἐν κύκλῳ	*César* entouré en cercle
καὶ ἀπαντῶν πληγαῖς,	et rencontrant des coups,
πρὸς ὅ τι τρέψειε τὴν ὄψιν,	de quelque *côté* qu'il tournât la vue,
καὶ διελαυνόμενος σιδήρῳ	et percé par le fer
φερομένῳ καὶ κατὰ προσώπου	qui se portait et contre son visage
καὶ κατὰ ὀφθαλμῶν,	et contre ses yeux, [vage
ἐνειλεῖτο ὥσπερ θηρίον	était ballotté comme une bête-sau-
ταῖς χερσὶ πάντων.	dans les mains de tous.
Ἔδει γὰρ πάντας	Car il fallait tous
κατάρξασθαι	frapper-la-victime
καὶ γεύσασθαι τοῦ φόνου.	et goûter au meurtre.
Διὸ καὶ Βροῦτος	C'est pourquoi même Brutus
ἐνέβαλεν αὐτῷ	porta à lui
μίαν πληγὴν εἰς τὸν βουβῶνα.	un seul coup à l'aine.
Λέγεται δὲ ὑπό τινων,	Et il est dit par quelques-uns,
ὡς ἄρα ἀπομαχόμενος	que *César* qui se débattait
πρὸς τοὺς ἄλλους	contre les autres
καὶ διαφέρων τὸ σῶμα	et qui portait son corps
δεῦρο καὶ ἐκεῖ,	ici et là,
καὶ κεκραγὼς,	et qui poussait-de-grands-cris,
ὅτε εἶδε Βροῦτον	lorsqu'il vit Brutus
ἐσπασμένον τὸ ξίφος,	qui avait tiré l'épée,
ἐφειλκύσατο τὸ ἱμάτιον	rabattit sa robe
κατὰ τῆς κεφαλῆς	sur sa tête
καὶ παρῆκεν ἑαυτὸν,	et *s'*abandonna lui-même,

εἴτ' ἀπὸ τύχης, εἴθ' ὑπὸ τῶν κτεινόντων ἀπωσθεὶς πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. Καὶ πολὺ καθῄμαξεν αὐτὴν ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπήϊον ὑπὸ πόδας κεκλιμένου, καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων· εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.

LXVII. Κατειργασμένου δὲ τοῦ ἀνδρὸς, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε, καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολιπεῖν τραπέζας καὶ χρηματιστήρια, δρόμῳ δὲ χωρεῖν, τοὺς μὲν ἐπὶ τὸν τόπον, ὀψομένους τὸ πάθος, τοὺς δ' ἐκεῖθεν, ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος, οἱ μάλιστα φίλοι Καίσαρος, ὑπεκδύντες, εἰς οἰκίας ἑτέρας κατέφυγον.

dessein formé de leur part, il fut poussé jusqu'au piédestal de la statue de Pompée, qui fut couvert de son sang. Il semblait que Pompée présidât à la vengeance qu'on tirait de son ennemi, qui, abattu et palpitant, venait expirer à ses pieds du grand nombre de blessures qu'il avait reçues. Il fut percé, dit-on, de vingt-trois coups; et plusieurs des conjurés se blessèrent eux-mêmes en frappant tous à la fois sur un seul homme.

LXVII. Quand César fut mort, Brutus s'avança au milieu du sénat pour rendre raison de ce que les conjurés venaient de faire : mais les sénateurs n'eurent pas la force de l'entendre; ils s'enfuirent précipitamment par les portes, et jetèrent parmi le peuple le trouble et l'effroi. Les uns fermaient leurs maisons, les autres abandonnaient leurs banques et leurs comptoirs; les rues étaient pleines de gens qui couraient çà et là, et dont les uns allaient au sénat pour voir cet affreux spectacle, les autres en revenaient après l'avoir vu. Antoine et Lépide, les deux plus grands amis de César, se dérobant de la foule, cherchèrent un asile dans des maisons étrangères. Mais Brutus

ἀπωσθεὶς εἴτε ἀπὸ τύχης,	ayant été poussé soit par le hasard,
εἴτε ὑπὸ τῶν κτεινόντων	soit par ceux qui *le* tuaient
πρὸς τὴν βάσιν, ἐπὶ ἧς	vers le piédestal, sur lequel
ὁ ἀνδριὰς Πομπηΐου βέβηκεν.	la statue de Pompée est dressée.
Καὶ ὁ φόνος	Et le meurtre
καθῄμαξεν αὐτὴν πολὺ,	ensanglanta ce *piédestal* beaucoup
ὡς Πομπήϊον δοκεῖν	au point Pompée sembler
ἐφεστάναι αὐτὸν τῇ τιμωρίᾳ	présider lui-même au châtiment
τοῦ πολεμίου κεκλιμένου	de son ennemi étendu
ὑπὸ πόδας,	à ses pieds,
καὶ περισπαίροντος	et palpitant
ὑπὸ πλήθους τραυμάτων.	sous le nombre des blessures.
Λέγεται γὰρ λαβεῖν	Car il est dit avoir reçu
εἴκοσι καὶ τρία·	vingt-trois *blessures* :
καὶ πολλοὶ κατετρώθησαν	et plusieurs furent blessés
ὑπὸ ἀλλήλων,	les-uns-par-les-autres,
ἀπερειδόμενοι εἰς ἓν σῶμα	*en* appuyant sur un seul corps
τοσαύτας πληγάς.	tant de coups.
LXVII. Τοῦ δὲ ἀνδρὸς	LXVII. Mais l'homme
κατειργασμένου,	ayant été achevé,
ἡ μὲν γερουσία, καίπερ Βρούτου	le sénat, quoique Brutus
ἐλθόντος εἰς μέσον,	étant venu au milieu,
ὡς ἐροῦντός τι	comme devant dire quelque *chose*
περὶ τῶν πεπραγμένων,	sur les *choses* faites,
οὐκ ἀνασχομένη	ne supportant pas *cela*
ἐξέπιπτε διὰ θυρῶν,	se précipita par les portes,
καὶ φεύγουσα	et fuyant
κατέπλησε τὸν δῆμον ταραχῆς	remplit le peuple de trouble
καὶ δέους ἀπόρου,	et d'une crainte inexplicable,
ὥστε τοὺς μὲν κλείειν οἰκίας,	au point les uns fermer leurs maisons,
τοὺς δὲ ἀπολιπεῖν τραπέζας	les autres laisser leurs banques
καὶ χρηματιστήρια,	et leurs comptoirs,
χωρεῖν δὲ δρόμῳ,	et se rendre à la course
τοὺς μὲν ἐπὶ τὸν τόπον,	les uns vers le lieu,
ὀψομένους τὸ πάθος,	devant voir le malheur,
τοὺς δὲ ἐκεῖθεν, ἑωρακότας.	les autres de-là, *l'*ayant vu.
Ἀντώνιος δὲ καὶ Λέπιδος,	Mais Antoine et Lépide,
οἱ μάλιστα φίλοι Καίσαρος,	les plus amis de César,
ὑπεκδύντες, κατέφυγον	s'étant esquivés, se réfugièrent
εἰς ἑτέρας οἰκίας.	dans d'autres maisons.

Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες, ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαῤῥαλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος, καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. Ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς, καὶ κατεμίγνυσαν ἑαυτοὺς ὡς μετεσχηκότες τοῦ ἔργου, καὶ προσεποιοῦντο τὴν δόξαν· ὧν ἦν καὶ Γάϊος Ὀκταούϊος καὶ Λέντλος Σπινθήρ. Οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον, ὑπ' Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες, καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες, ἀπιστίᾳ τῶν ἄλλων. Οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον. Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ

et les autres conjurés, encore tout fumants du sang qu'ils venaient de répandre, et tenant leurs épées nues, sortirent tous ensemble du sénat, et prirent le chemin du Capitole, non comme des gens qui fuient, mais d'un air content et avec un visage gai qui annonçait leur confiance. Ils appelaient le peuple à la liberté, et recevaient dans leurs rangs les personnes de distinction qu'ils rencontraient dans les rues. Il y en eut même qui se joignirent à eux pour faire croire qu'ils avaient eu part à la conjuration, et en partager faussement la gloire. De ce nombre furent Caius Octavius et Lentulus Spinther, qui, dans la suite, furent bien punis de cette vanité. Antoine et le jeune César les firent mettre à mort, et leur ôtèrent même l'honneur qu'ils avaient ambitionné, et qui causa leur perte. Ceux qui les condamnèrent punirent en eux, non la complicité du meurtre, mais l'intention. Le lendemain, Brutus et les autres conjurés se rendirent sur la place, et par-

Οἱ δὲ περὶ Βροῦτον,	Mais ceux *étant* autour de Brutus,
ὥσπερ ἦσαν	comme ils étaient
ἔτι θερμοὶ τῷ φόνῳ,	encore chauds du meurtre,
δεικνύντες τὰ ξίφη γυμνὰ,	montrant leurs épées nues,
συστραφέντες ἅμα πάντες	s'étant serrés ensemble tous
ἐχώρουν ἀπὸ τοῦ βουλευτηρίου	sortirent du sénat
εἰς τὸ Καπιτώλιον,	*allant* au Capitole,
οὐκ ἐοικότες	ne ressemblant-pas
φεύγουσιν,	à des *gens* qui fuient,
ἀλλὰ μάλα φαιδροὶ	mais très-rayonnants
καὶ θαῤῥαλέοι,	et pleins-de-confiance,
παρακαλοῦντες τὸ πλῆθος	appelant la multitude
ἐπὶ τὴν ἐλευθερίαν,	à la liberté,
καὶ προσδεχόμενοι	et recevant
τοὺς ἀρίστους	les plus distingués
τῶν ἐντυγχανόντων.	de ceux se trouvant-sur-leur passage.
Ἔνιοι δὲ καὶ	Et quelques-uns même
συνανέβαινον αὐτοῖς,	*y* montaient-avec eux
καὶ κατεμίγνυσαν ἑαυτοὺς	et *se* mêlaient eux-mêmes *à eux*
ὡς μετεσχηκότες τοῦ ἔργου,	comme ayant pris-part à l'œuvre,
καὶ προσεποιοῦντο τὴν δόξαν·	et s'*en* attribuaient la gloire :
ὧν ἦν καὶ Γάϊος Ὀκταούϊος	desquels étaient et Caius Octavius
καὶ Λέντλος Σπινθήρ.	et Lentulus Spinther.
Οὗτοι μὲν οὖν ὕστερον	Or ceux-ci plus tard
ἔδωκαν δίκην	donnèrent satisfaction
τῆς ἀλαζονείας,	de leur forfanterie,
ἀναιρεθέντες ὑπὸ Ἀντωνίου	ayant été mis-à-mort par Antoine
καὶ τοῦ νέου Καίσαρος,	et par le jeune César,
καὶ μηδὲ ἀπολαύσαντες	et n'ayant pas-même-joui
τῆς δόξης,	de la gloire,
διὰ ἣν ἀπέθνησκον,	pour laquelle ils mouraient,
ἀπιστίᾳ τῶν ἄλλων.	par l'incrédulité des autres.
Οἱ γὰρ κολάζοντες αὐτοὺς	Car ceux qui punissaient eux,
οὐδὲ ἔλαβον δίκην	ne tirèrent pas vengeance
τῆς πράξεως,	de l'action,
ἀλλὰ τῆς βουλήσεως.	mais de l'intention.
Μετὰ ἡμέραν δὲ	Mais après un jour
τῶν περὶ Βροῦτον	ceux autour de Brutus
κατελθόντων	étant descendus
καὶ ποιησαμένων λόγους,	et ayant fait des harangues,

ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα, τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ Βροῦτον. Ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα πᾶσι, Καίσαρα μὲν ὡς θεὸν τιμᾷν ἐψηφίσατο, καὶ κινεῖν μηδὲ τὸ σμικρότατον ὧν ἐκεῖνος ἄρχων ἐβούλευσε· τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμε, καὶ τιμὰς ἐπέδωκε πρεπούσας· ὥστε πάντας οἴεσθαι τὰ πράγματα κατάστασιν ἔχειν, καὶ σύγκρισιν ἀπειληφέναι τὴν ἀρίστην.

LXVIII. Ἐπεὶ δὲ, τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν, εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκ ἔτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας, ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν· ἀράμενοι δὲ δαλοὺς δια-

lèrent au peuple, qui les écouta sans donner aucun signe de blâme ni d'approbation; le profond silence qu'il garda faisait seulement connaître que, si d'un côté il plaignait César, de l'autre, il respectait Brutus. Le sénat décréta l'amnistie générale du passé; d'une part il ordonna qu'on rendrait à César les honneurs divins, et qu'on ne changerait aucune des ordonnances qu'il avait faites pendant sa dictature.; de l'autre il distribua à Brutus et à ses complices des gouvernements, et leur décerna des honneurs convenables. Tout le monde crut que les affaires étaient sagement arrangées, et la république remise dans le meilleur état.

LXVIII. Mais, quand on eut ouvert le testament de César, et qu'on y eut lu qu'il laissait à chaque Romain un legs considérable; qu'ensuite on vit porter, à travers la place, son corps sanglant et déchiré de plaies, le peuple, ne se contenant plus, et ne gardant aucune modération, fit un bûcher des bancs, des barrières et des tables qui étaient sur la place, et brûla le corps de César. Prenant ensuite des

ὁ μὲν δῆμος οὔτε δυσχεραίνων	le peuple certes ni *ne* s'indignant
οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα,	ni comme louant les *choses* faites,
προσεῖχε τοῖς λεγομένοις,	fit attention aux *paroles* dites,
ἀλλὰ ὑπεδήλου τῇ πολλῇ σιωπῇ	mais fit-voir par un grand silence
οἰκτείρων μὲν Καίσαρα,	d'une part plaignant César,
αἰδούμενος δὲ Βροῦτον.	de l'autre respectant Brutus.
Ἡ δὲ σύγκλητος πράττουσα πᾶσι	Et le sénat faisant pour tous
τινὰς ἀμνηστίας	certaines amnisties
καὶ συμβάσεις,	et conventions
ἐψηφίσατο μὲν τιμᾷν	décréta d'une part d'honorer
Καίσαρα ὡς θεὸν,	César comme un dieu,
καὶ μηδὲ κινεῖν	et de ne pas changer même
τὸ σμικρότατον ὧν ἐκεῖνος	la plus petite des *mesures* que celui-ci
ἐβούλευσεν ἄρχων·	avait décrétées étant-le-maître :
τοῖς δὲ περὶ Βροῦτον	d'autre part à ceux autour de Brutus
διένειμέ τε ἐπαρχίας,	et il distribua des gouvernements,
καὶ ἐπέδωκε	et il accorda
τιμὰς πρεπούσας·	des honneurs convenables :
ὥστε πάντας οἴεσθαι	au point tous croire
τὰ πράγματα ἔχειν κατάστασιν,	les affaires avoir une constitution,
καὶ ἀπειληφέναι	et avoir reçu
τὴν ἀρίστην σύγκρισιν.	la meilleure solution.
LXVIII. Ἐπεὶ δὲ,	LXVIII. Mais lorsque,
τῶν διαθηκῶν τῶν Καίσαρος	le testament celui de César
ἀνοιχθεισῶν,	ayant été ouvert,
δόσις ἀξιόλογος	un don considérable
εὑρέθη δεδομένη	fut trouvé ayant été donné
ἑκάστῳ Ῥωμαίων,	à chacun des Romains,
καὶ ἐθεάσαντο τὸ σῶμα	et *que* ils eurent vu son corps
κομιζόμενον διὰ ἀγορᾶς	apporté à travers la place
διαλελωβημένον ταῖς πληγαῖς,	mutilé par les blessures,
τὸ πλῆθος αὐτῶν	la multitude d'eux
οὐκ εἶχεν ἔτι κόσμον οὐδὲ τάξιν,	n'eut plus ordre ni rang,
ἀλλὰ περισωρεύσαντες μὲν	mais ayant entassé
τῷ νεκρῷ	autour du mort
βάθρα καὶ κιγκλίδας	des bancs et des barreaux
καὶ τραπέζας	et des tables
ἐξ ἀγορᾶς,	de la place-publique,
ὑφῆψαν αὐτοῦ	ils mirent-le-feu-sous lui
καὶ κατέκαυσαν·	et *le* brûlèrent :

πύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων, καταφλέξοντες, ἄλλοι δ' ἐφοίτων πανταχόσε τῆς πόλεως, συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. Οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλ' εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μὲν, ὥς φασι, τῆς παρῳχημένης νυκτὸς ὄψιν ἑωρακὼς ἄτοπον· ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι· παραιτούμενος δ', ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ, μὴ βουλόμενος, ἀλλ' ἀντιτείνων· ὡς δ' ἤκουσεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενός τε τὴν ὄψιν ἅμα καὶ πυρέττων. Καί τις, ὀφθέντος αὐτοῦ, τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ, κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνωμοσαμένοις, ὃν τοῦτον εἶναι ὑπολαβόντες, ὥρμησαν

tisons enflammés, il courut en foule aux maisons des meurtriers pour y mettre le feu ; plusieurs même se répandirent dans la ville, et les cherchèrent dans le dessein de les mettre en pièces ; mais on ne put les découvrir, parce qu'ils se tinrent bien renfermés. Un des amis de César, nommé Cinna, avait eu, la nuit précédente, un songe assez extraordinaire : il avait cru voir César qui l'invitait à souper, et qui, sur son refus, l'avait pris par la main, et l'avait entraîné malgré sa résistance. Quand il apprit qu'on brûlait sur la place publique le corps du dictateur, il se leva ; et, quoique inquiet du songe qu'il avait eu, quoique malade de la fièvre, il y courut pour rendre à son ami les derniers devoirs. Lorsqu'il arriva sur la place, quelqu'un du peuple le nomma à un citoyen qui lui demandait son nom ; celui-ci le dit à un autre ; et bientôt il courut dans toute la foule que c'était un des meurtriers de César : il y avait en effet un des conjurés qui s'appelait Cinna ; et le peuple, prenant cet homme pour le meurtrier, se

ἀράμενοι δὲ δαλοὺς διαπύρους	puis ayant pris des tisons enflammés
ἔθεον ἐπὶ τὰς οἰκίας	ils coururent aux maisons
τῶν ἀνῃρηκότων,	de ceux qui avaient tué *César*,
καταφλέξοντες,	devant incendier *elles*,
ἄλλοι δὲ ἐφοίτων	et d'autres allaient
πανταχόσε τῆς πόλεως,	de-tous-les-côtés de la ville,
ζητοῦντες συλλαβεῖν	cherchant à saisir
καὶ διασπάσασθαι τοὺς ἄνδρας.	et à déchirer ces hommes.
Οἷς μὲν οὐδεὶς ἐκείνων	Lesquels certes aucun de ceux-ci
ἀπήντησεν,	*ne* rencontra,
ἀλλὰ πάντες ἦσαν	mais tous étaient
εὖ πεφραγμένοι.	bien gardés.
Τὶς δὲ Κίννας	Mais un certain Cinna
τῶν ἑταίρων Καίσαρος	des amis de César
ἔτυχε μὲν, ὥς φασιν,	se trouva, comme on dit,
ἑωρακὼς ὄψιν ἄτοπον	ayant vu une vision étrange
τῆς νυκτὸς παρῳχημένης·	la nuit passée :
ἐδόκει γὰρ καλεῖσθαι	car il croyait être invité
ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον·	par César à souper :
παραιτούμενος δὲ, ἄγεσθαι	et refusant, être entraîné
τῆς χειρὸς ὑπὸ αὐτοῦ,	par la main par lui,
μὴ βουλόμενος,	ne voulant pas,
ἀλλὰ ἀντιτείνων·	mais résistant :
ὡς δὲ ἤκουσε	et dès qu'il eut appris
τὸ σῶμα τοῦ Καίσαρος	le corps de César
καίεσθαι ἐν ἀγορᾷ,	être brûlé sur la place-publique,
ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ,	s'étant levé il alla par honneur,
καίπερ ὑφορώμενός τε τὴν ὄψιν	quoique et se défiant de sa vision
καὶ ἅμα πυρέττων.	et en-même-temps ayant-la-fièvre.
Καί τις, αὐτοῦ ὀφθέντος,	Et quelqu'un, lui ayant été vu,
ἔφρασε τὸ ὄνομα	dit son nom
ἑτέρῳ τῶν πολλῶν πυνθανομένῳ,	à un autre de la foule qui s'informait
καὶ ἐκεῖνος ἄλλῳ,	et celui-là à un autre,
καὶ εὐθὺς ἦν διὰ πάντων,	et aussitôt *le bruit* fut parmi tous,
ὡς οὗτος ὁ ἀνήρ ἐστι	que cet homme est
τῶν ἀνῃρηκότων Καίσαρα·	de ceux qui ont tué César.
καὶ γάρ τις Κίννας ἦν	en effet un certain Cinna était
ὁμώνυμος ἐκείνῳ	homonyme de celui-là
ἐν τοῖς συνωμοσαμένοις,	parmi les conjurés,
ὃν ὑπολαβόντες εἶναι τοῦτον,	lequel ayant supposé être celui-ci,

εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. Τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον καὶ Κάσσιον, οὐ πολλῶν ἡμερῶν διαγενομένων, ἀπεχώρησαν ἐκ τῆς πόλεως. Ἃ δὲ καὶ πράξαντες καὶ παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ Βρούτου γέγραπται.

LXIX. Θνήσκει δὲ Καῖσαρ, τὰ μὲν πάντα γεγονὼς ἔτη πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ' ἐπιβιώσας οὐ πολὺ πλέον ἐτῶν τεσσάρων· ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. Ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάσσης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων, ἀλλὰ καὶ τοὺς καθ' ὁτιοῦν ἢ χειρὶ τοῦ ἔργου θιγόντας, ἢ γνώμης μετασχόντας, ἐπεξελθεῖν.

jeta sur lui, et le mit en pièces sur la place même. Brutus et Cassius, effrayés de cette fureur populaire, sortirent de la ville peu de jours après. J'ai raconté dans la Vie de Brutus ce qu'ils firent depuis, et les malheurs qu'ils éprouvèrent.

LXIX. César mourut âgé de cinquante-six ans, et ne survécut guère que de quatre ans à Pompée. Cette domination, ce pouvoir souverain qu'il n'avait cessé de poursuivre à travers mille dangers, et qu'il obtint avec tant de peine, ne lui procura qu'un vain titre, qu'une gloire fragile, qui lui attirèrent la haine de ses concitoyens. Mais ce génie puissant, qui l'avait conduit pendant sa vie, le suivit encore après sa mort; il s'en montra le vengeur, en s'attachant sur les pas de ses meurtriers et par terre et par mer, jusqu'à ce qu'il n'en restât plus un seul de ceux qui avaient pris la moindre part à l'exé-

ὥρμησαν εὐθὺς
καὶ διέσπασαν τὸν ἄνθρωπον
ἐν μέσῳ.
Οἱ περὶ Βροῦτον καὶ Κάσσιον
δείσαντες μάλιστα τοῦτο,
οὐ πολλῶν ἡμερῶν διαγενομένων,
ἀπεχώρησαν ἐκ τῆς πόλεως.
Ἃ δὲ καὶ πράξαντες
καὶ παθόντες ἐτελεύτησαν,
γέγραπται ἐν τοῖς
περὶ Βρούτου.

LXIX. Καῖσαρ δὲ θνήσκει,
γεγονὼς πεντήκοντα καὶ ἓξ ἔτη
τὰ μὲν πάντα,
ἐπιβιώσας δὲ Πομπηΐῳ
οὐ πολὺ πλέον τεσσάρων ἐτῶν·
καρπωσάμενος δὲ οὐδὲν
ὅτι μὴ τὸ ὄνομα μόνον
καὶ τὴν δόξαν ἐπίφθονον
παρὰ τῶν πολιτῶν
ταύτης,
ἣν ἀρχὴν
καὶ δυναστείαν
διώκων παντὶ τῷ βίῳ
διὰ τοσούτων κινδύνων
κατειργάσατο μόλις.
Ὁ μέντοι μέγας δαίμων αὐτοῦ,
ᾧ ἐχρήσατο παρὰ τὸν βίον,
ἐπηκολούθησε καὶ τελευτήσαντος
τιμωρὸς τοῦ φόνου,
ἐλαύνων
καὶ ἀνιχνεύων
διά τε πάσης γῆς
καὶ θαλάσσης
ἄχρι τοῦ λιπεῖν μηδένα
τῶν ἀπεκτονότων,
ἀλλὰ καὶ ἐπεξελθεῖν
τοὺς ἢ θιγόντας
κατὰ ὁτιοῦν
τοῦ ἔργου χειρί,

ils s'élancèrent aussitôt
et déchirèrent l'homme
au milieu *de la place.*
